122 Rom. XV 19 125 - 126 Rom. X 15 et Is. LII 7 129 - 130 Psalm. CIX 1 et XVII 43 132 Oppian., Hal. III 303 133 *αἰτησάμενοι*: in epistola synodali, Vizantijskij Vremennik, 3 (1896), 388 - 389 135 - 137 Luc. XI 12 - 13 143 Luc. XV 23 148 - 149 Hom., Il. XX 18

150 ἱερὸς κυκεὼν ὁ ἀριδήλως τὰ Ναυάτου φυσιῶν, οὓς μὲν κοσμικοπροβλήτους
ἀπελοιδόρει οἷς δὲ τὸ πρωτοθυτικὸν ἐπετώθαζε ἐνίων δὲ καὶ ἐπίρρητά τινα
κατεκερτόμει καὶ πλεῖστον ὅσον κονιορτὸν ὕβρεων ἀνερρίπιζεν ἐκ στόματος
κασαλβάζοντος. οἱ γοῦν τότε καιροῦ τῶν ἀκαιρολογημάτων καὶ βλασφημιῶν
ἠνεσχόμεθα, ὡς οὐκ ἀντενεβριμησάμεθα τῷ σκωπτώλῃ, νόμῳ θείῳ πειθόμενοι
155 μὴ ἀντιλοιδορεῖν ἐν τῷ λοιδορεῖσθαι ἀπειλεῖν δὲ μηδόλως ἐν τῷ πάσχειν
κακῶς, οὕτω πάντως καὶ τὰς ἔναγχος κατὰ τῆς ἡμῶν ἀδελφικῆς ὁμηγύρεως
ἀποτοξευθείσας, βαβαί, πικρορρημοσύνας οἷοί τε φέρειν ἦμεν γενναίῳ τῆς
ψυχῆς παραστήματι, ἐνθυμούμενοι δήπου ὅτι πρὸς υἱοὺς ἡμᾶς πατὴρ σὺ κατ'
ἐξουσίαν διείλεξαι, ὅτι πρὸς ἀδελφοὺς ἀδελφοὶ | κατὰ παροξυσμὸν ἀγάπης γρά- f. 329v
160 φειν κεκίνηνται.

8. Εἰς τί δὲ καὶ τῷ θεσπεσίῳ ἐκείνῳ γράμματι παραμεῖξαι καταδρομὴν
ἀνάφορμον οὕτω τὸν ἐν ἡμῖν πανευσεβῆ θεοστεφῆ αὐτοκράτορα ὡς ἡ ποίησις
ἀταρτηροῖς ἐπέεσι βάλλουσαν; αὐτὸς γὰρ οὗτος ὁ τῆς Δαυιτικῆς πραότητος
ζηλωτὴς ἐν ἀκακίᾳ τῆς ἑαυτοῦ καρδίας ἐν μέσῳ τῶν ἰδίων βασιλείων ηὐλίζετο,
165 μισῶν παραβαίνοντας, τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον ὅλῃ χειρὶ μακρὰν
ἀπωθούμενος, τοὺς ὀφθαλμοὺς ἔχων ἐπὶ τοὺς πιστοὺς τῆς γῆς — πιστοὶ δ' ἂν
εἶεν ἐξόχως ἱεραρχῶν σύλλογος, συστήματα μονοτρόπων — τοῦ συγκαθῆσθαι
αὐτοὺς μετ' αὐτοῦ. οὐδὲ γὰρ ὑπερόφρυς ὁ ἡμέτερος βασιλεὺς οὔτε μὴν δυσέντευ-
κτος ἢ κλίνῃ χαίρων ἢ ὡς ἐκ παστοῦ νυμφίος προκύπτων καὶ ἡλίου δυομένου
170 αὐτὸς ἀμυδρὰς τὰς φαύσεις τοῖς ἔξω παραγυμνῶν ἀλλ' ἰσομοίρως πᾶσιν ἐπα-
νατέλλει, πρῴηθεν ἐς λυχνιαίας ἀφὰς ἐπίσου πᾶσι μεθ' ἡμερότητος ἐπιλάμπει,
λύων τὴν νύκτα τῶν λυπηρῶν, εἴ γε καὶ λύπην ὅλως τοῖς ἐνταυθοῖ ἐπιχωριά-
ζουσαν καθορῴη τις. Φωνὴ γὰρ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηνώμασι τοῦ
δικαίου βασιλέως ἡμῶν, ὃς ἀφεῖλε δάκρυον ἀπὸ προσώπου τῆς γῆς. τίνα τῶν
175 ὑπεναντίων οὐκ ἐξωλοθρευκώς, τίνα δὲ τῶν δεδιωγμένων οὐκ ἀνασεσωκώς;
τὸν δὴ τοιοῦτον καὶ κατὰ μόνας ἐπ' ἐλπίδι τῇ κρείττονι κατοικιζόμενον σὺν
τοῖς μετ' αὐτοῦ, τὸν ὁμοίως τῷ βασιλικωτάτῳ θηρῶν λέοντι ἐρυγὴν ἀφιέντα

153 *οἱ*: *ὁ* cod. 161 inter *καὶ* et *τῷ* vacat spatium sex fere litterarum capax 163 *ἐπέεσι* cod. 174 *τῆς γῆς*: in margine *παντὸς*

150 *κυκεὼν*: Constantinus Mesopotamita, metropolita Thessalonicensis; Georg. Acrop., cap. 21=33, 31-22 Heisenberg; cf. infra lin. 220 et 246 *ἀνακυκήσαντι* 150 *Ναυάτου*: Novatus, conditor sectæ *τῶν καθαρῶν* 150 *κοσμικοπροβλήτους*: a laicis et sæcularibus (ab imperatore scilicet) i.e. non canonice electi episcopi 151 *πρωτοθυτικόν*: *πρωτοθύτου* i.e. *πρωτοπαπάδος* nomine conviciose salutabat quos episcopos esse negabat 153 *κασαλβάζοντος*: Aristoph., Eq. 355 154 - 155 1 Petr. II 23 158 *κατ' ἐξουσίαν*: 2 Cor. XIII 10 159 - 160 Hebr. X 24 163 Hom., Il. I 223 163 - 168 Psalm. C 2 - 6 168 Psalm. XVIII 6 173 - 174 Psalm. XVIII 15 174 - 175 Is. XXV 8

καὶ κατεπτηχέναι πᾶν ὅσον ἐχθρωδέστατον ἀναγκάζοντα, ἱνατί ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει ἡ ἐξ ὕψους ἀνατολῆς τὰ κάτω ταῦτα ἐπισκεπτουμένη
180 ἐπιστολὴ ληρώδει γλώσσῃ διατεθρύληκεν, ὡς δὲ νυγμαῖς ἀπροοόπτοις ταῖς διὰ καλάμου καὶ μέλανος ξυσμαῖς ἀφυπνίσαι προσείλετο καὶ οὐκ ἐφείσαντο, ⟨ὥσπερ⟩ οἱ περὶ τὸ κακηγορεῖν ἑτοιμότατοι;

9. Εἰ μὲν οὖν ὑπ' αἰτίᾳ, προϋπηργμένου οὗτινος οὖν λοιδορήματος, πρὸ χειρῶν ὑμῖν ὃ ἀνεπέμφθη πέρυσι γράμμα, οὗ γραμματαγωγεὺς ὁ ἐν μοναχοῖς
185 σεβασμιώτατος κυρὸς Θεόδουλος· πρὸ χειρῶν ἐστιν ἐκεῖνο· ἀναπτυσσέσθω καὶ παραστησάτω κατὰ πρόσωπον ἡμῶν ἣν εἰς τὸ ὕψος ἀδικίαν διελαλήσαμεν. εἰ δ' εὐπροσωπεῖν τινες ἴσως βουλόμενοι, καὶ μισθωτοὶ Ἐφραίμ, ὡς ὁ προφητικὸς λόγος, τελοῦντες τὸν τοῖχον ἀλείφουσι, τὰς καθ' ἡμῶν παροινίας ὑπὲρ μέλι καὶ κηρίον τῷ ἐκμισθουμένῳ προσάγοντες, ἵλεων εἴη τούτοις τὸ
190 θεῖον, ὅτι ἀπείπαντο σύνεσιν, ὅτι παίζειν ἐν οὐ παικτοῖς τεθελήκασι καὶ ἀναμέσον εὐθείας τρίβου σκάνδαλα συνεστήσαντο. προσθεῖναι τοῖς εἰρημένοις καὶ ἀστειότερον ἕτερον· ἐὰν εὐήθειαν ἡμῶν καταγνόντες οἱ τὰ κομψὰ σοφιζόμενοι τοσοῦτον ἐς ἡμᾶς φορυτὸν ἐφύβριστον ἐξηρεύξαντο, ἴστωσαν ὡς ὁ μικρότερος ἐν τῇ παρ' ἡμῖν κραταιᾷ βασιλείᾳ λελόγωται καὶ ὡς ἐν ὅπλοις
195 παντοίοις κεκόσμηται τὰ ἀνάκτορα, οὕτω δὲ καὶ τοῖς περὶ τὸ λέγειν καὶ γράφειν δεινοῖς ἐγκαθώπλισται, καὶ ζητῶν τις οὔτε τὸν λόγον ἐνθάδε ἄοπλον εὕρῃ οὔτε τὸν ὡπλισμένον ἐκτὸς λογιότητος. σύγκρατος δέ πως ἡ ἀμφοτέρωθεν χάρις, καὶ τὰ ἑρμαϊκὰ τῇ εὐανδρίᾳ ξυμπνεῖ καὶ συμπεριχωροῦσιν εἰς ἄλληλα. πῶς δὲ οὐκ ἔδει ταῦθ' οὕτως ἔξειν; πῶς ἐν ἡμέραις ταύταις ἐπὶ σκή-
200 πτρων θεοφρουρήτων μὴ ἐστηρίχθαι καλὸν ἐπὶ καλῷ ὡς θεμελίῳ στερρῷ καλλίπυργον οἰκοδόμημα, ὡς δ' αὖ ἐν πέπλῳ θεοϋφάντῳ κροσσωτὰ παγχρύσεα παρηρτῆσθαι τοῖς ὑπὸ τῆς ἔξω παιδείας, τοὺς ὑπὸ τῆς ἔσω καὶ ἱερᾶς εὖ μάλα πλακέντας καὶ τεχνουργηθέντας σοφώτατα; ἀλλ' ὁ μὲν περὶ τούτων λόγος, καὶ ὅπως καὶ ὅσας τοῖς ἄνωθεν τελείοις δωρήμασι τοὺς ἐνταυθοῖ βασι-
205 λεῖς ⟨καὶ⟩ τὰ βασίλεια ἡ πανυπέρσοφος χάρις ἐπευδόκησε μεγαλύνεσθαι καθάπαξ ἔκδηλον, κἂν ἡμεῖς σιωπῶμεν, ἵνα μὴ φιλαυτίᾳ τὸ πᾶν διδόναι δοκοίημεν.

10. Μετιτέον δέ, ὦ θειοτάτη κεφαλή, ὦ ὑμεῖς ὁ σύμπνους τῶν ἀδελφῶν

---

181 post *ἐφείσαντο* vacat spatium quinque fere litterarum capax 196 *ἐγκαθώπτισται* cod. 202 *τοῖς : τοὺς* cod. 204 *λόγος : λόγων* cod.

---

178 - 179 Psalm. XXX 19 184 *γράμμα*: Viz. Vrem., 3, 388 - 293 n° 26 186 Psalm. LXXII 8 188 Ezech. XIII 11 - 16 189 Psalm. XVIII 11 191 Eccli. VII 6 201 Psalm. XLIV 14 204 - 205 Iac. I 17

χορὸς καὶ ὁμόστοιχος, ὑπὲρ τὰ προάγοντα τῆς σεπτῆς αὐτῆς ἐπιστολιογρα-
210 φηθείσης καταφορικῷ τῷ σχήματι ὁμιλίας, καὶ εἰ μὴ καθ' ἓν ἅπαντα, ἐνίων δὲ ὅμως τὴν ἔννοιαν ἀποσυλητέον, καθάπερ ἐκ τῶν ἀρχετύπων πινάκων οἱ τῶν ζωγράφων ἐπιμελεῖς ὅσα γε σφίσι φέρει τι συντελὲς ἀπανθίζονται. ἀναλεγόμεθα οὖν καὶ ἡμεῖς κεφάλαι' ἄττα ἐξ ὧν κοινῇ καὶ ἰδίᾳ τὸ καθ' ἡμᾶς ὁμακόϊον διηρώτηται. πλὴν μακροθυμία μεσολαβείτω καὶ πιστὸν ἐν τοῖς ὅσον οὔπω ρη-
215 θησομένοις, ἐπεὶ καὶ τὸ παντέφορον ὄμμα Χριστοῦ ἐποπτικῶς ἔχει ὡς πρὸς τοὺς ὑμῶν λόγους, οὕτω καὶ δὴ πρὸς τοὺς ἐξ ἡμῶν, καὶ μέχρι σαρκῶν καὶ μυελῶν καὶ ὀστέων διεξικνεῖται· οὐδὲν γὰρ συγκεκαλυμμένον ἐνώπιον αὐτοῦ, ἀλλὰ γυμνὰ πάντα καὶ τηλαυγέστερα φωτὸς πρὶν ἢ γενέσθαι παρίστανται.

11. Τοιαύτη μὲν οὖν ἡ τῶν ὑποτεινομένων ἀποκρίσεων προκατάστασις·
220 καὶ γοργῶς ἀπάρξασθαι τούτων, ὁ παρ' ὑμῖν κριταῖς ἱερόαθλος ἀρχιποίμην Θεσσαλονίκης οὐχ ὡς ἄν τις οἰήσαιτο ἐξωθεῖται τῶν σφετέρων θρεμμάτων, οὐχ ὑπερόριος ἀποπέμπεται, οὐ παρὰ βασιλέων, οὐ παρὰ ἱερέων, οὐ παρὰ δήμου μανέντος, οὐ παρὰ μεγιστάνων ἐμπικρανάμενων ἐκείνῳ, — φιλεῖ γὰρ καὶ οὕτω συμπίπτειν ὡς τὰ πολλά — τὴν αὐτὸς ἑαυτοῦ συνείδησιν βαστάζων
225 ἀδιαστάτως καὶ παρ' ὃ δεῖ φρονηματιζόμενος πλάνητα βίον ἕλκειν αἱρεῖται καὶ ἣν ἔλαχε ποιμαίνειν μεγίστην οὖσαν καὶ πόλεων μυριανδρουμένων πολυανθρωποτέραν καὶ ἀναριθμήτοις χάρισι πνευματικαῖς ὁμοῦ καὶ ταῖς κατὰ δίαιταν ἀπολαυστικαῖς ὥραις ἀληθῶς | τελοῦσαν ἀμφιλαφῆ ὥς τι κωμύδριον αὐτὸς (f. 330) περιεῖδεν μὴ ἐπισκόπου χρῇζον, μὴ ἐκκλησιασμοῦ, μὴ συνάξεων ἱερῶν, μὴ
230 φωτισμοῦ, μὴ ἁγιασμοῦ. ἀπείρηκεν ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ μεθέλκων τὸν ἄνδρα, τὰ μὲν αὐτοπροσώπως τὰ δὲ καὶ ἐν μηνύμασι τοῖς προσήκουσιν, ἔκ τε τοῦ ἱεραρχικοῦ καταλόγου ἔκ τε τοῦ συγκλητικοῦ βουλευτηρίου τὴν κρείττω μοῖραν διαπεμπόμενος· ὁ δ' ὡς τῶν ἰοβόλων τὰ θυμικώτερα πᾶσιν ὁμοίως τὸ δυσπρόσιτον ἀνθιστᾷ, δικαιολογίαις ἐπιστομιζούσαις οὐ
235 καθυπείκει, ῥήμασι προσηνέσιν οὐκ ἐπικάμπεται· ἀτέραμνός ἐστιν, ἀτενής ἐστι καὶ τὸ ὅλον φάναι γέρων πιστὸς κατὰ τὸν εἰπόντα καὶ τοῖς ἐκ πρίνου στελέχεσιν ὁμοιούμενος. εἰ δὲ καὶ ὡς πολλὰ πολλάκις περὶ τὴν πόλιν ταύτην δυσνοίας τεκμήρια δεδωκὼς καὶ νῦν αὖθις τὸ ἀσφαλὲς παρασχεῖν τοῖς βασιλεύουσιν ἀπαιτεῖται μὲν οὐχ ὑπακούει δέ, συλλογιστέον τοῦ φεύγοντος τὸν σκοπὸν

---

224 *τὴν δ' αὐτὸς* fortasse leg. 228 *ὥραις*: omnia evanuerunt praeter ω 229 *χρήζων* cod.

---

216 - 217 Heb. IV 12 219 *προκατάστασις*: Dion. Hal., Rhet. 7, 4 220 *ἀρχιποίμην*: Constantinus Mesopotamita ; supra ad lin. 150 223 - 224 « *ἀντιστάντος αὐτῷ (τῷ Θεοδώρῳ) τοῦ μητροπολίτου Θεσσαλονίκης Κωνσταντίνου τοῦ Μεσοποταμίτου, ὃν καὶ πολλαῖς κακουχίαις καὶ ἐξορίαις διὰ ταῦτα ὑπέβαλε τῶν κανονικῶν ἐθῶν ἀντεχόμενον* » Georg. Acrop., cap. 21 = 33, 21 - 23 Heisenberg 225 Rom. XII 13

240 ὁποῖός τίς ἐστι καὶ ὑπὲρ τίνος δολιχεύων τὸν ἐν κακοπαθείᾳ ⟨ὥς⟩ φατε δρό-
μον ὕστερον ὡς ἀθλητὴς στεφανωθήσεται νόμιμος. θαυμάζομεν εἰ μὴ καὶ
δίκην ὑφέξει τὴν βαρυτάτην ἐν ἡμέρᾳ ἀποκαλύψεως ἐκ δικαιοκρισίας Θεοῦ,
ὡς ἑαυτῷ μὲν ἐπισφαλῶς τῷ δ' ἐν ἡμῖν ἀστασιάστῳ καὶ ἀταράχῳ λίαν συγ-
χυτικῶς βουλευσάμενος. εἰ γὰρ ὁ τῶν μικρῶν ἕνα σκανδαλίσας τραχηλοκάκην
245 καταδικάζεται καὶ κατὰ βυθῶν ἀφίεται, ὡς τὸ ἱερολογούμενον, τῷ τοσούτους
ἄρα καὶ τηλικούτους ἀνακυκήσαντι καὶ βαθυτέραις ὑποθημοσύναις πρὸς ἀλ-
λήλους συγκρούσαντι πῶς τότε εἰς ἀνεύθυνον κείσεται παρὰ τῷ ἀδεκάστῳ
κριτῇ;

12. Τί δὲ ὁ τῇ 'Επιδαμνίων ἐπικηρυχθείς, καὶ ὁδοῦ πάρεργον ὥς φασι
250 τὸ τῆς καρδίας θέλημα εὑρηκώς; μὴ ὑφ' ἡμῶν ἐπιζυγοῦνται τούτῳ αἱ εἰς τὸ
κατὰ χώραν ἱερὸν εἰσελεύσεις; μὴ προμνηστεύσαντες τὴν νενυμφευμένην
αὐτῷ, εἶτα φθονοῦμεν τῆς ἀπητημένης συναφείας καὶ τῆς ἐντεῦθεν πνευματικῆς
τεκνώσεως; ὑπερπονοῦμεν τοῦ ἀδελφοῦ· «ἄφες αὐτῷ τὴν τῆς παραπρεσβεύ-
σεως ἁμαρτίαν» εἰς ὦτα λαλοῦμεν τῆς βασιλικῆς γαληνότητος· ἀλλ' ἀντακούο-
255 μεν ἀτεχνῶς ὃ πάλαι τῷ θειοτάτῳ Μωσεῖ διηκούτισται· «μὴ δέησιν προσά-
γετε ὑπὲρ τοῦ ἀνδρὸς τούτου. οὐ γὰρ εἰσακούσομαι ὑμῶν». ἀγαπᾷ γὰρ ὁ κρα-
ταιὸς βασιλεὺς ἡμῶν τὰς πύλας Δυρραχίου ὑπὲρ πάντα τὰ ὑπήκοα φρούρια.
οὐ γὰρ ἀπονητὶ κατεκτήσατο τὴν πόλιν ἐκείνην, οὔτε πρώην ὁ τοῦ βασιλέως
μακαριστὸς αὐτοῦ ὁμαίμων, ὁ τρισαριστεὺς Κομνηνός, οὔθ' ὕστερον αὐτὸς
260 οὗτος ὁ αὐτοκράτωρ, ἀλλ' ἐκεῖ προσβαλὼν 'Ιταλικαῖς μυριάσιν, ὡς νοσσιὰν
καταλήψεσθαι διαπειλομέναις οὐχ ὅπως 'Επίδαμνον ἀλλ' ἤδη καὶ τὰ προσω-
τέρω καὶ ὑπερκείμενα, συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν
καὶ πόλεμον. ἐκεῖ ἐθαυμαστώθη τοῦ 'Υψίστου ἡ δεξιά, καὶ ὁ βραχίων Κυρίου
τίνι ἀπεκαλύφθη ἢ αὐτῷ τούτῳ τῷ νικοποιῷ βασιλεῖ, ἀντικαταστήσαντι
265 τοῖς ἐπηρμένοις τῶν ἀντιπάλων φρονήμασι φρόνημα πλῆρες ὑψοποιοῦ ταπει-
νώσεως; ὥσπερ οὖν τῇ ὑπερόπλῳ ἐκείνων πανστρατιᾷ γυμνῆτας καὶ κορυ-
νήτας, οἳ τότε λεόντων γαυρότεροι κατεφάνησαν, καὶ ταχέως οὕτω σκυλεύσας
ὀξέως δὲ προνομεύσας ὁ θεοδυνάμωτος αὐτοκράτωρ τρόπαιον ἀνεστήσατο
καθ' ὅλης σχεδὸν τῆς οἰκουμένης ἐξάκουστον. τί γοῦν καινὸν ἂν διεγρηγορό-
270 τας ἔχῃ τοὺς ὀφθαλμούς, ἂν πάσῃ φυλακῇ τηρῇ πόλιν ἐφ' ᾗ πόλλ' ἐμόγησε,
καὶ ἔτι δὲ περὶ αὐτὴν ἀφειδεῖ χρημάτων, στρατευμάτων, ἀναλωμάτων παντο-

---

240 - 241 2 Tim. IV 7 - 8 et II 5 241 - 242 Rom. II 5 244 Matth. XVIII 6 249 *'Επιδαμνίων*: v. infra, p. 92 n. 4 255 - 256 Ierem. VII 16 258 *κατεκτήσατο*: Georg. Acrop., cap. 14 = 25, 11 - 17 259 *αὐτόαιμος*: Michaël Ioannis sebastocratoris f. Angelus; L. Stiernon, Les origines du despotat d'Épire in Revue des Études Byzantines, 17 (1959), 113. 260 *προσβαλών*: Georg. Acrop., cap. 14 = 25, 17 - 26, 9 Heisenberg; cf. infra p. 99 n. 3 262 Psalm. LXXV 4 263 - 264 Is. LIII 1

δαπῶν, ἵνα μή τι γένηται, ἵνα μὴ ἐπ'. αὐτὴν βάλωσι χάρακα οἱ Σικελίαθεν
ἐγχάσκοντες θῆρες καὶ ὅσοι τῷ 'Αδρίᾳ ἐμπερινήχονται; εἰ δὲ καὶ 'Ασιανὴν
ῥᾳδιουργίαν κατὰ τὸν ὅμοιον λόγον προσυφορώμεθα αὐτὸς ἂν εἰδείη ὁ μὴ
275 παραχωρούμενος ἐπὶ τῶν ἱερῶν οἰάκων καθίζειν τῆς Δυρραχιτικῆς ἐκκλησίας.

13. Δυοῖν τούτων ἀληθῶν προβλημάτων συμπερανθῆναι προαγομένων,
ἑνὸς μὲν τοῦ ἀδόλως ἱερατεύειν ἐν τῇ βασιλευούσῃ Θεσσαλονίκῃ, ἑτέρου δὲ κατὰ
τὴν διαληφθεῖσαν 'Επίδαμνον, καὶ τρίτον ὥσπερ ἀναφαίνεταιπόρισμα τὸ μηδὲ
ἄλλον οἷον δή τινα πρὸς Νίκαιαν ἀνατρέχειν ἐφ' ᾧ ἱερᾶσθαι καὶ καταπέμπεσθαι
280 τῇ λαχούσῃ, κἂν ὁποίας ἔλαχε θέσεως, εἴτε ἠπειρωτικῆς, εἴτε ἀλικλύστου
καὶ νησιώτιδος, ὥς τι νεόφυτον ἑτεροθαλές, τὴν μὲν ῥιζουχίαν φέρον ἐκ γῆς
μακράν, μόνην δὲ σκιὰν πιστοσύνης ἐφαπλοῦν πρὸς τὸν αὐτοκρατορικῶς
δεσπόζοντα τῶν καθ' ἡμᾶς χωρῶν τε καὶ πόλεων καὶ νήσων καὶ ἐσχατιῶν. ἀλλ'
ἐκεῖνοι πάντως πρὸς ἱεραρχίαν τῇ βασιλείᾳ ταύτῃ εὐαρεστούμενοι οἷς ἂν
285 ἐγγύθεν καὶ πρὸ ὀφθαλμῶν ὡς εἰπεῖν ὑπὸ τῶν Δυτικῶν ἡμῶν συνιερουργῶν
ἡ ψῆφος καὶ ἡ κλῆσις, καὶ ἑπομένως ἡ χειροθεσία, προβαίνῃ. πρᾶγμα τοῦτο
καινότομον μὲν — οὐδὲ γὰρ ἀγνοοῦμεν· μὴ εἰς τοσοῦτον ἀποπληξίας καὶ ἔλ-
θοιμεν — καιροῦ δὲ φορᾷ παλινβόλῳ καὶ παντάπασι περιστατικῇ συνυπαγό-
μενον καὶ τῆς ἀκριβείας διὰ τὴν οἰκονομίαν ἐκπῖπτον. παραξέσαι καὶ γὰρ τὴν
290 ἀποστολικὴν ῥῆσιν, οὐχ ὃ θέλομεν ἀγαθὸν ἐξ ὑποτυπώσεως κανονικῆς κρατυν-
θὲν τοῦτο ποιοῦμεν, ἀλλ' ὃ οὐ θέλομεν ἀντίξοον ἔθει ἀρχαίῳ τοῦτο πράσσομεν.
εὑρίσκεται γὰρ — ἵνα καὶ πάλιν φαίημεν ἀποστολικῶς — ἡ καιρικὴ περιπέτεια
ὥσπερ τις ἔμφυτος νόμος ἀντιστρατευομένη τῷ νόμῳ τῆς διανοίας ἡμῶν,
καὶ ὡς ἐν κημῷ τινι καὶ χαλινῷ κατάγχουσα καὶ τοῦ ὀρθοῦ μικρόν τι παρεκ-
295 νεύειν συμπείθουσα. ὃ δὴ μικρὸν Χριστοῦ χάριτι | οὐ παρατιτρώσκει δόγματα f. 330v
εὐσεβείας τῆς πατροπαραδότου, οὐ παραλλαγὴν βαπτίσματος κατεργάζεται,
οὐ σβέννυσι τὸ πνεῦμα, προφητείας οὐκ ἐξουθενεῖ· πρὸ πάντων τούτων ⟨οὐ⟩
καταβιβάζει τὸ ὕψος τῆς πατριαρχικῆς μνημοσύνης καὶ τοῦ τιμίου ὀνόματος,
μᾶλλον μὲν οὖν ἐκπυρσεύει καὶ ἐπ' ἄκρων τειχέων τὸ τοῦ λόγου κηρύσσει καὶ
300 παμπληθεὶ σύμπαν στόμα δι' ὅλης ἡμέρας δι' ὅλης νυκτὸς ἐμπεπλησμένον
δεικνύει τῆς σῆς αἰνέσεως.

14. Οὗτος ὁ καλὸς ἀγὼν ἡμῶν, ὃν πολλάκις διηγωνίσμεθα καὶ νῦν δὲ
ὡσαύτως συνεπαγωνιζόμεθα, τοῦ μὴ ὁλοτελῶς ἀπορραγῆναι τῆς ὑμῶν συμ-
φυΐας καὶ φυλὴ φυλῇ γενέσθαι καὶ ἀποσπασθῆναι τὰ μέλη τῆς κεφαλῆς καὶ
305 μὴ μέρη μόνον ἀλλά που καὶ μόρια χρηματίσαι. καὶ τίς ὁ τοῦ λοιποῦ συναρ-
μολογήσων τὴν ἐκκλησίαν καὶ ὀστέον πρὸς ὀστέον ἐπισυνάξων καὶ ἀναπλά-
σων τὰ τηλικαῦτα συντρίμματα; τοῦτο μὲν οὖν τὸ πάθος προεωρῶμεν ἡμεῖς

---

289 - 291 Rom. VII 19 292 - 293 Rom. VII 23 294 - 295 Psalm. XXXI 9 297 1 Thess. V 19 - 20 298 *μνημοσύνης*: V.V., 3,290, 10 et infra lin. 437 304 Psalm. CXXI 4 306 Eph. IV 16 306 - 307 Ezech. XXXVII 7

ὅπως ἐλεεινόν, καὶ προορῶντες κατὰ τὸ παρελθὸν ἔτος διεγνωρίσαμεν καὶ
ἀνηνέγκαμεν τὰ περὶ τοῦ πράγματος, κοινοβουλίῳ χρησάμενοι. ἂν δὲ τῇ μεγάλῃ
310 ἁγιωσύνῃ σου, δέσποτα, καὶ τῇ αὐτόθεν ἱερᾷ συνόδῳ τὸ μονοτόνον καὶ ἀνέν-
δοτον ὡς λυσιτελέστερον τοῖς παροῦσι καιροῖς ἐπικρίνεται, ἀλλ' ὁ τῆς ἀληθείας
μῦθος ἁπλοῦς ἔφυ· πολλὰ εἰπόντες εἴτε καὶ ἐπαχθέστερον γράψαντες οὐκ ἂν
ἐφίκοισθε, ὅτι καὶ τῇ παροιμίᾳ τὸ τὰ ἀκίχητα διῶκον ὅλως ἀπείρηται καὶ τὸ
μὴ βιάζου ῥοῦν ποταμοῦ ἑτέρωθί που πεπαροιμίασται καὶ αὐτό.

315 **15.** Τὰ μέντοι ὀθνεῖα τῶν γεννημάτων, τὰ ἀνεπίγνωστα τῇ μητρὶ τῶν
ἐκκλησιῶν, τὰ τὴν ἐκ τῆς παρακοῆς τέκνωσιν ἐγκαλούμενα, τάχ' ἂν ἀντεγκα-
λέσαιεν τῇ κυριωνυμουμένῃ πολυγόνῳ μητρὶ εἰ μή τι ἄλλο τοῦτο γοῦν ⟨ὃ⟩
πρὸς τὴν σοφὴν Σαμαρεῖτιν Χριστός, ἡ τῆς σοφίας πηγή, θεοπρεπῶς ἀπεφθέγ-
ξατο, ἐπὶ πέντε τοῖς προτέροις ἀνδράσιν οἷς συνέφθαρτο κτηνωδέστερον τὸν
320 ἕκτον λεληθότως διαγράφειν τοῦ ἀριθμοῦ ἐγχειροῦσαν καὶ παρὰ τοῦτο τὸν
ἀλάθητον εἰς τὸ παρ' αὐτῇ δοκοῦν κεκρυμμένον θᾶττον ἢ λόγος ἐκκαλύψαι
παραβιασαμένην· «νῦν γὰρ ὃν ἔχεις» ὁ τῶν κρυφίων εἶπεν ἐξεταστής, «οὐκ
ἔστι σου ἀνήρ». σύνετε οἱ εὐθεῖς τῇ καρδίᾳ ὅτι καὶ ἡ τοῦ Βύζαντος ὑπὸ χερσὶ
βαρβάρων ἁλοῦσά τε περθομένη τε πολλοὺς τοὺς ἐπιβήτορας ἔσχεν, ὡς
325 δ' ἔξεστι συνορᾶν καὶ ἔτι πλείονας ἕξει, σπερματιζομένη τὰ μοιχικά. ὃν γοῦν
δοκεῖ ἔχειν σύνοικον ἄποικον ὁ ἀνθυποφέρων λόγος ἐκβάλλειν τῆς συζυγίας
πειρᾶται, ψυχρόν τε καὶ ἄγονον τῇ νυμφευθείσῃ πρὸς τὸν νυμφευσάμενον ἐπι-
φημίζειν τὸ παραγκάλισμα· ἐξ ὧν ποῖον πατρῷζον ἀποκυηθήσεται τέκνον
καὶ εἰς γνησίαν τετάξεται υἱοποίησιν, εἰ μὴ παρεισκυκλεῖ τις ἡμῖν καὶ τὸν
330 Ἰξίονος μῦθον ἐρῶντος μὲν Ἥρας καὶ ἀναφλεγομένου περὶ τὰ παιδικὰ τῆς
θεᾶς, πλὴν ὅτιπερ ἔλαθε κατασχὼν νεφελοειδῆ τινα μόρφωσιν ἀντὶ Ἥρας
καὶ τῇ ἐκεῖθεν μίξει τέρας τι κενταυρικὸν ἀποτετελεκὼς κἀκεῖνα τῆς συναφείας
τοῦ τοκετοῦ ἀπονάμενος, τοὺς ἐν τῷ τροχῷ δεσμοὺς καὶ τὸ ἀϊδίως περιφο-
ρεῖσθαι τῆς ἀλλοκότου ἐπιθυμίας ἐνδίκους δίκας ἀποτιννύς; τί τοίνυν προσφέ-
335 ρετε ἡμῖν Ἀμορραῖον μὲν εἶναι τὸν πατέρα, Χετταίαν δὲ τὴν μητέρα, ἔκφυλα
ταῦτα καὶ τῇ πρεσβυγενεῖ διαθήκῃ ὀνόματα φαυλεπίφαυλα; ἀλλ' ἢ δείξατε
ἡμῖν τὸν χαρακτῆρα τοῦ ἀπηκριβωμένου πατρός, τοῦ τὴν κοινὴν μητέρα
τὴν Κωνσταντίνου κατὰ νομίμους ἐγνωκότος θεσμούς, καὶ ἀρκεῖ ἡμῖν εἰς
σύστασιν τῆς παρανοθεύσεως, ἢ παρακεχάρακταί πως τὸ ὁλοσχερὲς τῆς ἐκ-
340 κλησίας πνευματικὸν συνοικέσιον καὶ συγγνωμονητέον ἀλλήλοις τοῦ πάθους,
ἅμα δὲ καὶ τὸ θεῖον ἱλεωτέον ὡς δύναμις τοῦ ἐπιστρέψαι τὴν αἰχμαλωσίαν ἡμῶν
καθάπερ ποτὲ τὴν ἐκ Βαβυλῶνος· ὑπὲρ ἧς καὶ οἱ τοῦ παναγάθου Θεοῦ ἀγαθοὶ

308 ἔτος : ἔπος cod. 321 ἐκκαλύψαι cod. 334 - 335 προσφέρεται cod.

311 - 312 Eurip., Phœn. 469 314 Eccli. IV 32 318 - 323 Io. IV 16 - 18

ἄγγελοι προασπισταὶ τοῦ ἔθνους προκεχαρισμένοι καὶ φύλακες πᾶσαν προσφέ-
ρον δέησιν «ἕως πότε, Κύριε» λέγοντες «οὐκ ἐλεήσεις τὴν Ἱερουσαλήμ;
345 ὁ Κύριος τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει». ἆρ' οὐχὶ ταῦτα καὶ ἐπὶ τὴν
νέαν τοίνυν Σιών; οὐ προσαρμόζει τῇ πρὶν εὐδαίμονι Βυζαντίδι, τῇ ἕως τῶν
οὐρανῶν ὑψωθείσῃ καὶ ἕως τοῦ Ἅιδου καταβιβασθείσῃ, ἐλπίσι δὲ βουκολου-
μένῃ ταῖς χρηστοτέραις τοῦ περιαγαγεῖν τὸ οἰκεῖον ὄμμα καὶ ἰδεῖν ἐπισυνη-
γμένα τὰ ἴδια τέκνα, ἃ μὲν ἐξ Ἀνατολῶν ἃ δὲ ἐκ Δυσμῶν, ἀπὸ θαλάσσης
350 ἀπὸ βορρᾶ; γένοιτο τοῦτο, ναὶ Χριστὲ παμβασιλεῦ, γένοιτο. καὶ τότε δή,
τότε ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, οἱ ἐξ ὀθνείων ὀθνεῖοι, οἱ παρέγγρα-
πτοι καὶ ἐπείσακτοι, ἀπαιτηθείημεν κομίσαι τὰ γνωρίσματα ἐναργῆ καὶ τὰς
ἀποδείξεις σαφεῖς, πατρὸς ὄνομα καὶ μητρός, ὅθεν καὶ ὅπως τετυχήκαμεν
τῆς ἱερατείας, καὶ οἷα βλαπτικὰ τῇ ἐκκλησίᾳ Χριστοῦ ἀνθ' οἵων τῶν ἐνερ-
355 γουμένων ἐπωφελῶν διὰ τρόπου πλεονεξίας ἐπὶ προκρίματι τῷ ἑαυτῶν
παρεισενηνόχαμεν.

16. Ἀλλ' ἵνα μὴ διατρίβωμεν λέγοντες, ἐπεὶ καὶ λόγου κόρος ἐκπεπο-
λέμωται πρὸς τὰς ἀκοάς, τῶν μὲν εἰρημένων ἅλις· φέρε δέ, τούτων ἀφέμενοι
μεταβῶμεν ὡς ἐφ' ἕτερα καὶ ἄλλον κόσμον ἀείσωμεν, τὸν περὶ τοῦ κρατίστου
360 καὶ ἁγίου βασιλέως ἡμῶν. ζηλοῦντες γὰρ ἐζηλώκαμεν καὶ τὸν θυμαλγέα χόλον
οὐχ οἷοί τέ ἐσμεν καταπέττειν οὐδὲ τὰς ὠγυγίους κατ' αὐτοῦ συκοφαντίας
τὰς ἐν τῷ γράμματι ἀστενακτὶ καρτερεῖν ἀνεχόμεθα. καὶ ὧδε τόπου γενόμε-
νοι | ⟨τὴν⟩ ὑπώρειαν ἤδη τῆς ὑφῆς ὑποκατιόντες ὅμως ἐπανατρέχομεν εἰς αὐτὴν f. 331
δὴ τὴν ἀκροτάτην πρότασιν τῆς θεσπεσίας γραφῆς καὶ καλὴν ἐπίκουρον
365 εὑρηκότες ἐκπληκτικώτερον οὕτω πως ἀνακραγεῖν προαγόμεθα· «ἄκουε οὐρανὲ
καὶ ἐνωτίζου ἡ γῆ», οὐ μὴν ἀλλὰ καὶ «ἥλιε κρύψον σου τὰς ἀκτῖνας» ἀναβοῶ-
μεν πρὸς τὴν τοσαύτην ψευδηγορίαν· ἆρα γὰρ ἔχεις εἰπεῖν ὡς τεθέασαι
πώποτε τὸν ἐν βασιλεῦσιν εὐγενέστατόν τε καὶ ἀνδρικώτατον, τὸν Δούκα κυρὸν
Θεόδωρον, παρασκηνοῦντα μετὰ τῶν ἐκ τῆς Ἄγαρ, καὶ φιλίας νόμῳ τῆς
370 ἀλισγηματώδους αὐτῶν διαίτης ἐπ' ὀλίγον γοῦν συμμετέχοντα; ἔγνως ἀνα-
κληθέντα τοῦτον ἐκεῖθεν φιλοικτιρμόνως ὑπὸ τοῦ προβεβασιλευκότος ἐν τῇ
Ἀσίᾳ τοῦ Λάσκαρι; πότερον οὐ διέλαθέ σε τὰ τῆς εὐποιΐας, τὰ τῆς εὐεργεσίας,
τὰ τῆς εὐμενείας, δι' ὧν ὁ δημαγωγὸς τῷ ὑποστρατήγῳ, εἰ βούλεσθε δέ, ὁ
στρατηγὸς τῷ στρατιώτῃ, φιλοτιμότερον ἀπεχρήσατο; οὐδέπω γὰρ ἐστεφη-
375 φόρει τὸ τότε οὔτε μὴν πορφυρίδα ὁ τῆς Ἀσίας ἄρξας περιεβάλλετο, ἀλλ' ἦν

359 ὡς : πρὸς cod., sed correxit superscripto ὡς

344 Zach. I 12; Psalm. CXLVI 2 347 - 349 Matth. XI 23 360 - 361 Zach. VIII 2 365 - 366 Is. I 2 374 - 375 ἐστεφηφόρει : imperator coronatus est Theodorus Lascaris a. p. Ch. n. 1208, inter diem Martii 30 et Aprilis 5; infra p. 101 n. 3

τόπους τόπων ἀμείβων μηδὲ τοῖς ποσὶν εὑρίσκων ἀνάπαυσιν πρὸς δὲ καὶ
καταστασιαζόμενος ὑπὸ τῶν πολλῶν δυσηνίως διακειμένων καὶ ἀποπτυόντων
τὰ τῆς κυριότητος στόμια.

17. Μανθάνομεν δὴ καὶ οὐκ αἰδὼς ἐκφερομυθεῖν καὶ μᾶλλον κατ' ἐκεῖνο
380 καιροῦ τὰ μεγάλα συνήρατο τῷ Λάσκαρι ὁ Κομνηνοδούκας προκινδυνεύων
ἐκείνου καὶ πολεμίων φρούρια παρασπώμενος καὶ ἀνδραγαθιζόμενος ὑπὲρ
τοὺς πολλούς. εἶ δὲ προϊδρώσας τοσαῦτα καὶ ἤματα διατετελεκὼς αἱμα-
τόεντα, ἔπειτα χάριν κατείληφεν ἀμοιβῆς, τί τοῦτο ; ἄξιος, φησίν, ὁ ἐργάτης τοῦ
μισθοῦ αὐτοῦ, καὶ οὐδεὶς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ. ἐπεὶ δὲ καὶ μητέρα
385 μὲν τὴν προϋπάρξασαν χάριν ἀκούει ἡμέτερος βασιλεύς, θυγατέρα δὲ τὴν ἀντί-
χαριν, οὐδ' ἐν τούτῳ τοῦ σοφοῦ γνωματεύματος ἐξελάθετο, ἀλλ' ἔχων παρ'
ἑαυτῷ τοὺς ὁμογνίους ἐκείνου τοῦ ὡς εἰρήκατε φιλοτιμότερον ἀγαθύναντος,
ὑπερβάλλει ταῖς ἀλλεπαλλήλοις τῶν μεγαλοδωρεῶν, ἐξ ὧν οὐδὲ ὡς θυγατέρα
δείκνυσι τὴν ἀντίχαριν ἀλλὰ πολυγονωτάτην μητέρα οἷς ἐπὶ γενεὰν καὶ
390 γενεὰν τὰ ἑαυτῆς ἀπομαιεύσει κυήματα.

18. Ὁρκίων δὲ πέρι καὶ ἐμπεδώσεων πρὸς τὴν ἐξ ἐκείνου κατάγουσαν σει-
ρὰν ὑπόχρεων εἶναι τὸν ἐν ἡμῖν αὐτοτελῶς ἀνάσσοντα ἐννοεῖν ὅλως, μὴ καὶ ἀνοη-
ταίνοντος εἴη ἂν τὸ ἐνθύμιον. τίς γὰρ συμφωνία λέοντί τε καὶ χαμαιλέοντι ;
ὁ μὲν γὰρ γενναῖον βλέπει κἀκ μόνου βρυχηθμοῦ κνωδάλων ἀγέλας ὅλας
395 ἀπονεκροῖ, ὁ δὲ τὰς χροὰς ἐξαλλάσσων καὶ τὸ πολύμορφον ῥᾳδίως ὑποκρινό-
μενος εἰς ἓν μόνον οὐχ οἷός τέ ἐστι μεταβάπτειν τὸ ἐν χρώμασι διακριτικόν.
ἀσύμφυλα δὲ ἄλλως καὶ ἀνεμῶναι πρὸς ῥόδα ὡς καὶ ῥάμνοι πρὸς κυπαρίττους.
κυπαρίττων μὲν γὰρ καὶ ῥόδων φυταλιὰ κατάκομος παρ' ἡμῖν ἡδέων μὲν ἰδεῖν
οὐ περιπατῆσαι δέ, δρέψασθαι τὰ πρὸς ὄσφραν καὶ σκιᾶς βαθείας μεταλαχεῖν
400 τῷ γε καλῶς βουλομένῳ ῥᾴστην ἐνδιδοῦσα τὴν εἴσοδον. παράδεισός γε μὴν
ὁ κατὰ 'Ανατολὰς θεωρεῖται μηδέν τι λυσιτελήσας τοῖς πρώτως καρπισαμένοις
τὰ ἐξ αὐτοῦ, θανάτῳ δὲ μᾶλλον ὑποδικάσας, εἶτα καὶ φλογίζουσαν πυλωρίαν

399 *οὐ*: vix sanum

377 *καταστασιαζόμενος*: Georg. Acrop., cap. 7 = 12, 4-21 Heisenberg 383 1 Cor. IX 7 384 Soph., Aj. 522; Niceph. Basil., Progymn. III 2 = Ch. Walz, Rhetores Graeci, I 447, 18-20 391 *ὁρκίων*: Georg. Acrop., cap. 14 = 24, 23-25, 2 Heisenberg 400 *παράδεισος*: « *ὁ γὰρ ἐμὸς ἄνωθεν παρακλήτωρ... κατευνάζει τὸν τάραχον τῆς καρδίας... οὐ σὲ ἐξουθενήκασι λέγων, ἀλλ' ἐμέ, τὸν φυτεύσαντα κατὰ 'Ανατολὰς τὸν νέον τῆς ἐκκλησίας παράδεισον, τὸν τάξαντα φλογίνην ῥομφαίαν φρουρὸν τοῦ παραδείσου φύλακα, τὸν χαριτώνυμον αὐτοκράτορα...* » Germanus patriarcha, in rescripto ad Demetrium Chomatianum, ed. J. B. Pitra Iuris ecclesiastici Græcorum selecta Paralipomena. Demetrii Chomatiani opera, cap. 113 in Analecta sacra et classica Spicilegio Solesmensi parata, [VII], Romæ et Parisiis 1891, 485.

παρακαταστήσας, κωλυτικήν τινα δύναμιν τοῖς τε εἰσιέναι προθυμουμένοις
ὡς λίαν σκυθρωπὴν καὶ δυσάντητον. τίς τοίνυν εὖ ἔχων φρενῶν ἐπὶ
405 δυσπρόσοδον εἴτ' οὖν κεκλεισμένον δραμεῖται παράδεισον, οὔτε τῷ κρούοντι
ἀνοιγόμενον κατὰ τὸ ἐν Εὐαγγελίοις ἐπάγγελμα ; τίς ἀναπετάσει τὰ ὄμματα
πρὸς 'Ανατολάς, ὅθεν νεφελώδεις ἐκπορεύονται ἐμβριμήσεις καὶ ἀποπαταγοῦν-
ται ἡμῖν βροντοηχῆ ἀπηχήματα ; ἀνθαιρήσεται μᾶλλον ὅστις ποτ' ἂν ᾖ τὴν
Δυσμὴν ταύτην, ὅτι ἐπέγνω τὸν ἑαυτῆς ἥλιον βασιλέα, καὶ αὖ ὁ ἥλιος οὗτος
410 ἐπέγνω τὴν Δύσιν αὐτοῦ. παρέστω καὶ Σολομῶν ὁ τοσοῦτος, συνεπιμαρτυρείτω
τῷ λόγῳ, κρεῖσσον γνωματεύων οἰκεῖν ἐν ὑπαίθρῳ μηδ' ἐμφιλοχωρεῖν ὑπὸ
στέγην ἢ ἐν κεκονιαμένοις καὶ χρυσῷ καὶ ἀργύρῳ περιλαμπομένοις ἐναυλί-
ζεσθαι μετὰ ἀηδίας. συμφωνήσειε δ' ἂν τούτοις, καὶ τὸ «Σπάρταν ἣν ἔλαχεν
ἕκαστος ἀγαπάτω» μηδ' ἀφρονέστερον ἐκπεμπέτω τὰς ὄψεις ἐπ' ἄκρα γῆς
415 ἀλλὰ τοῖς ἰδίοις ἀρκείσθω, τὸν Θεὸν φοβούμενος, τὸν ἁρμόδιον βασιλέα τιμῶν,
τὴν ἀδελφότητα ἀγαπῶν, προσέχων ἑαυτῷ καὶ βλέπων λεῖα, τό τε εἰσέχον
πρὸς τὸ ἐξέχον ἀντεμβιβάζων μηδὲ ταῖς δοκούσαις ἀνωμαλίαις τῶν ὑπὸ
σελήνην καὶ μεταφορητῶν περικραδαινόμενος τὸν ὀφθαλμὸν τῆς ψυχῆς, ἀλλ' ἤδη
καὶ καιροὺς καὶ πράγματα διαστέλλων, καθάπερ ἀμέλει καὶ τὸ τοῦ στερεώ-
420 ματος πρόσωπον ὁτὲ μὲν περὶ ὀψίαν δείλην εὔδιεινὰ τεκμήρια προσχόμενον
ὁτὲ δὲ πρωΐας ἐπιλαβούσης ἐπιστυγνάζον καὶ χειμερίαν προσημαῖνον κατή-
φειαν.

19. Τοσαῦτα τὰ παρ' ἡμῶν ἐκ περιωδυνίας ἐπὶ τοῖς ἔναγχος ἐπανεγνω-
σμένοις· ὧν διακονητὴς οὐ τῶν συρφάκων τις πρεσβευτής, οὐκ ἀγγελιαφόρος
425 ὁποιοσοῦν, ἀλλ' ὁ ἐν Κυρίῳ ἀγαπητὸς ἀδελφὸς ἡμῶν ὁ πανηγιασμένος ἱεράρ-
χης 'Αμαστρίδος ὁ πολὺς τὴν σοφίαν. ὁ τὴν ἐν τοῖς πράγμασιν ἐμπειρίαν κατὰ
πολὺ περισσότερος, ὅνπερ ὡς ἄγγελον Θεοῦ, ὡς ὑπηρέτην Χριστοῦ, ὡς
τοῦ πατριαρχικοῦ μεγαλείου σαφὲς ἀποσφράγισμα ἐκ πρώτης ἐντεύξεως
εἴδομεν, ἰδόντες ὑπὸ περιχαρίας ἀνεπτερώθημεν· | οὐ μὴν καὶ ἡ χαρὰ ἡμῶν f. 331v
430 πεπληρωμένη γέγονεν ἐν ἡμῖν, ἡμιτελὴς δέ τις, ἢ τἀληθέστερον φράσαι, εἰς
ἀποφράδα τὴν ἡμέραν ἡμᾶς ἐκείνην θέσθαι συμπείθουσα. τί λέγομεν ἡμέραν ;
τὰς ἡμέρας, δι' ὅσων μετὰ τὴν ἐργωδίαν τῆς κατὰ ταὐτὸ συνελεύσεως ἡμῶν

413 *συμφωνήσει* cod. 426 *τὴν*[2] corr. ex *τοίνυν*

406 Matth. VII 7-8 410 Psalm. CIII 19 410-411 Prov. XXI 9 413-414 Plut., Mor. 472 e et 602 b; Diogenian. Prov. VIII 16 = Parœmiogr. gr. I 307; Mich. Acominatus (rectius Choniata), epp. 75, 4 et 129, 8 = II 122, 19 et 260, 1 Lampros. 415-416 1 Petr. II 17 416 Philostr., Vit. Ap. II 20 426 *'Αμαστρίδος*: Nicolaus Caloëthes; M. Lequien, Oriens Christianus, I, Parisiis 1740, 565. De cognomine cf. Germani patriarchæ rescriptum ad Demetrium Chomatianum, Pitra, An. sacr. VII, 486 « *καλὸς τῷ ἤθει κατὰ τὴν ἐπωνυμίαν* ». 427-428 Gal. IV 14; 1 Cor IV 1 429-430 Io. XVI 24 etc.

παρῆν ἐν τῇ Θεσσαλονικέων καὶ ὁρῶν καὶ ὁρώμενος, λαλῶν τὰ συντείνοντά οἱ, ἀκούων ἀφ' ἡμῶν τὰ συνοίσοντα, εἰ καὶ παρὰ κωφῷ ἐῴκειμεν ᾄδειν καὶ νεκρῷ
435 *πρὸς οὓς διαλέγεσθαι. ἐπείπερ εἵλετο μᾶλλον μετ' ἀπραξίας ἀνθυποστρέψαι ἢ πράξεως ἀνθέξεσθαι ἀποδεχθησομένης ὥς γε οἰόμεθα, καὶ παρὰ τῇ μεγάλῃ ἁγιωσύνῃ σου ἅτε δὴ τὸ καθ' ἡμέραν μνημόσυνόν σου καὶ τὴν παρὰ πάντων ἀνακήρυξίν σου διαιωνίζειν ἐπικυρούσης, μηδὲ ἀποσιωπηθῆναι καθάπαξ τὰ σιωπῆς ὄντως ἀνάξια.*

440 **20.** *Τοῦτο ἡμῖν ἡ σπουδή, ἡ διηνεκὴς ἐπιμέλεια, αἱ συχναὶ καὶ δυσχερεῖς μεταβάσεις, αἱ εἰς τὰ βασίλεια πάροδοι, ὥστε τοὺς ἐπαρχεωτέρους ὑποκειμένους σοι θρόνους μὴ ἀνατραπῆναι μήτε παρατεκτονηθῆναι καὶ ἄλλῳ τῳ ὑποτεθῆναι, τῷ μετὰ Πέτρου καὶ Παύλου συνεδριάζειν αὐχοῦντι καὶ τὰς ἐπουρανίους κλεῖς αὐτῷ μόνῳ μετὰ τὸν κορυφαῖον ἐγχειρισθῆναι περικομπά-*
445 *ζοντι. καὶ εἰ μὴ ἀπατηλὸν δοκοίη τὸ ῥῆμα «ὡς πρώην οὕτω καὶ νῦν» ἐνωτίζου παρ' ἡμῶν τῶν ὀρθοφρόνων εὐχετῶν τῆς μεγάλης ἁγιωσύνης σου. ἧς τὴν μετριοπαθῆ γνώμην ἐπὶ ταῖς ἀσθενείαις ἡμῶν ἀνελλιπῆ χαρίσαιτο Κύριος ταῖς ἐκκλησίαις αὐτοῦ.*

---

436 *παρὰ : περὶ* cod. 440 *σπουδὶν* cod.

---

437 *μνημόσυνον*: supra ad lin. 298 443 Matth. XVI 19 444 *κορυφαῖον* Petrus

ΝΕΟΣ ΚΩΔΙΞ ΤΗΣ ΧΡΟΝΙΚΗΣ ΒΙΒΛΟΥ ΜΙΧΑΗΛ ΤΟΥ ΓΛΥΚΑ

Παλαιότερον ἡ ἀνεύρεσις ἑνὸς χειρογράφου διασῴζοντος τὸ κείμενον ἑνὸς βυζαντινοῦ ἱστορικοῦ ἢ χρονογράφου ἦτο συχνοτέρα, αἱ δὲ ἐλπίδες ὅτι κάτι σπουδαῖον ἠδύνατο νὰ προκύψῃ ἐκ τῆς μελέτης αὐτοῦ πολλαί.

Σήμερον, ὁπότε αἱ πλεῖσται τῶν βιβλιοθηκῶν ἔχουν ἀρκούντως ἀνερευνηθῆ καὶ ἔχουν ἐπισημανθῆ οἱ σημαντικοὶ κώδικες, δὲν ἀναμένομεν πολλὰ νέα πράγματα νὰ ἔλθουν εἰς φῶς, καίτοι αἱ ἐκπλήξεις δὲν πρέπει νὰ ἀποκλείωνται ἐντελῶς [1].

Ὁπωσδήποτε ἡ ἀνεύρεσις ἑνὸς νέου κώδικος ὑπῆρξε πάντοτε εὐπρόσδεκτος [2].

Τὰ χειρόγραφα τὰ διασῴζοντα τὸ κείμενον τῆς Χρονικῆς Βίβλου Μιχαὴλ τοῦ Γλυκᾶ εἶναι πολλά [3].

Ὁ κῶδιξ, περὶ τοῦ ὁποίου ὁ λόγος κατωτέρω, περιέχει μέρος μόνον τῆς Χρονικῆς Βίβλου καὶ ἀνήκει εἰς τὴν συλλογὴν τῶν χειρογράφων τῆς Γενναδείου Βιβλιοθήκης [4].

Παρέχομεν κατωτέρω σύντομον περιγραφὴν αὐτοῦ :

ΙΖ' - ΙΗ' αἰῶνος, Χαρτ., 0,166×0,147 (γεγραμμένη ἐπιφάνεια 0,145× 0,090), φύλλα 106, στίχοι 20.

---

[1] Σημειοῦμεν ἐνδεικτικῶς τὴν ἐπ' ἐσχάτων ὑπὸ τοῦ καθηγητοῦ Λ. Πολίτου ἀνεύρεσιν νέου κώδικος τοῦ Λεξικοῦ τοῦ Φωτίου (πρβλ. L. Politis, Die Handschriftensammlung des Klosters Zavorda und die neuaufgefundene Photios-Handschrift, Philologus 105 (1961), 136 - 144.

[2] Εἰδικῶς διὰ νέους κώδικας τῆς Χρονικῆς Βίβλου Μιχαὴλ τοῦ Γλυκᾶ πρβλ. Sp. Lambros, Ein neuer Codex der Chronik des Glykas, BZ 4 (1895), 514. Ἰ. Συκουτρῆ, Κυπριακὸς κῶδιξ τῶν Χρονικῶν Μιχαὴλ τοῦ Γλυκᾶ καὶ Γεωργίου Μοναχοῦ, Κυπριακὰ Χρονικὰ 3 (1925), 83 - 117.

[3] Πρβλ. Maria Elisabetta Colonna, Gli storici Bizantini dal IV al XV secolo, Napoli 1956, pp 56 - 57. Gyula Moravcsik, Byzantinoturcica[2] I, Berlin, 1958, pp. 430 - 432.

[4] Ὑπ' ἀριθ. 41 (ἐφεξῆς G). Τῶν χειρογράφων τῆς Γενναδείου Βιβλιοθήκης ἑτοιμάζουν Κατάλογον οἱ Β. Παναγιωτόπουλος καὶ Ἀ. Κομίνης.

Ὁ κῶδιξ περιέχει μόνον τὸ πρῶτον τμῆμα τῆς Χρονικῆς Βίβλου ἀπό: *Ὅσα δὲ καὶ περὶ μεγέθους ἐφιλοσόφησαν τοῦ τε ἡλίου καὶ τῆς σελήνης...* (Πρβλ. ἔκδ. Βόννης, σελ. 40,12) μέχρι: ...*ἀρκούντως τῆς πίστεως.* (Πρβλ. Αὐτόθι, σελ. 223,4).

Ἀνήκει δηλαδὴ εἰς τὴν κατηγορίαν ἐκείνων τῶν κωδίκων τοῦ Μιχαὴλ Γλυκᾶ, ἥτις, ἀποσπασθεῖσα τῆς λοιπῆς Χρονικῆς Βίβλου, ἀπετέλεσεν ἰδιαίτερον ἔργον φυσιολογικοῦ καὶ θεολογικοῦ ἐνδιαφέροντος. (Περὶ τῆς κατηγορίας ταύτης πρβλ. F. Sbordone, Φυσιολογία Parigina degli Annales di Michael Glycas, BZ 29 (1929 - 1930), 188 - 197).

Ὁ κῶδιξ ἀποτελεῖται ἐκ ιδ' τετραδίων ἠριθμημένων δι' ἑλληνικῶν ἀριθμῶν εἰς τὴν κάτω ᾤαν τοῦ πρώτου καὶ τελευταίου φύλλου. Ἐκ τῶν τετραδίων τὸ β' (φφ. 9 - 14) ἀπετελεῖτο ἐξ ἀρχῆς ἐξ ἓξ φύλλων τὸ δὲ ιδ' (φφ. 103 - 106) ἐκ τεσσάρων.

Τὰ ἀρχικὰ γράμματα τῶν παραγράφων διὰ κεφαλαίων ἐλαφρῶς διακεκοσμημένων. Γραφὴ ἐπιμελὴς διὰ μαύρης μελάνης. Εἰς τὰς ᾤας τοῦ κώδικος καὶ ὑπὸ τῆς αὐτῆς χειρὸς τοῦ ἀντιγραφέως, ἐκτὸς τῶν γνωστῶν συντομογραφιῶν *Ὡρ(αῖον) Σημ(είωσαι)* ἐγράφησαν οἱ τίτλοι τῶν εἰς τὰς ἔναντι σελίδας ἀντιστοιχούντων κεφαλαίων (π.χ. *Περὶ ἐκλείψεως σελήνης, περὶ ἐνιαυτοῦ, περὶ ὑετοῦ, περὶ τρυγόνος, περὶ τεττίγων* κλπ.). Ἐν ἀρχῇ καὶ ἐν τέλει τοῦ κώδικος ἀφέθησαν ἀνὰ δύο λευκὰ παράφυλλα. Εἰς τὸ α' παράφυλλον φέρεται ἡ ἑξῆς ἔνδειξις: *Michaelis Glycae | Physico - Theologica | Saec. XVII.* Εἰς δὲ τὸ ἐσωτερικὸν μέρος τῆς Α' πινακίδος ἀναγράφονται: *Mr Thorper 1832* καὶ κατωτέρω: *J. Lee Doctors Commons | Bound June 1834.* Σημειοῦνται ἐπίσης ἀριθμοί τινες σχέσιν ἔχοντες, ὡς φαίνεται, μὲ τὴν κατάταξιν τῆς βιβλιοθήκης τῶν κατὰ καιροὺς κτητόρων τοῦ κώδικος. Ἡ ἀρίθμησις τῶν φύλλων ἐγένετο διὰ μολυβδίδος εἰς τὴν ἄνω δεξιὰν ᾤαν καὶ εἶναι σύγχρονος. Στάχωσις διὰ περγαμηνοῦ λευκοῦ φύλλου ἀδιακοσμήτου, τοῦ ἔτους 1834, ὡς ἐκ τῆς ἀνωτέρω σημειώσεως φαίνεται. Τέλος ἐπὶ τῆς ράχεως διὰ χρυσῶν ἐντύπων γραμμάτων ἐγράφη: ΜΙΧΑΗΛ ΤΟΥ ΓΛΥΚΑ ΦΥΣΙΚΟΘΕΟΛΟΓΙΚΑ.

Ὡς φαίνεται, τοῦτο μὲν ἐκ τῶν τίτλων τοὺς ὁποίους οἱ κτήτορες τοῦ κώδικος ἐπέγραψαν εἰς αὐτὸν (*Physico-Theologica*, ΦΥΣΙΚΟΘΕΟΛΟΓΙΚΑ), τοῦτο δὲ ἐκ τοῦ τίτλου τῆς ἀρχῆς τοῦ κώδικος (φ. 1) «*Τοῦ μακαριωτάτου κυροῦ Μιχαὴλ τοῦ Γλυκᾶ περὶ μεγέθους ἡλίου καὶ σελήνης*», δὲν ἐγένετο ἀντιληπτὸν ὅτι πρόκειται περὶ τῆς Χρονικῆς Βίβλου, ἀλλ' ἐνομίσθη ὅτι πρόκειται περὶ ἄλλου ἀνεξαρτήτου ἔργου τοῦ αὐτοῦ συγγραφέως.

Παραθέτομεν κατωτέρω χρησίμους τινὰς ἐνδείξεις καὶ δείγματα γραφῶν, ἵνα καταστῇ εὔκολος ἡ ὑπὸ τῶν ἐνδιαφερομένων κατάταξις τοῦ κώδικος εἰς ἣν οἰκογένειαν οὗτος ἀνήκει.

Ὁ ἀντιγραφεὺς τοῦ κώδικος εἶναι μὲν προσεκτικός, ἀλλὰ δὲν φαίνεται πεπαιδευμένος. Συχνάκις ὑποπίπτει εἰς ὀρθογραφικὰ σφάλματα καὶ εἰς σφάλματα τονισμοῦ καὶ στίξεως. Ὁσάκις δὲν ἐννοεῖ τὸ ἐξ οὗ ἀντιγράφει πρότυπον ἀποδίδει σχηματικῶς τὴν λέξιν. Φαίνεται δὲ ὅτι εἴς τινα σημεῖα πλὴν τοῦ προτύπου συνεβουλεύθη καὶ ἄλλα χειρόγραφα, διότι δηλοῖ ἐν ταῖς ᾤαις συχνάκις τὰς διαφόρους γραφάς. Δυνατὸν ἐπίσης εἶναι αἱ διάφοροι αὗται γραφαὶ νὰ ἦσαν σημειωμέναι ἐπὶ τοῦ προτύπου. Εἶναι τέλος ἄξιον

ἰδιαιτέρας σημειώσεως ὅτι ὁ ἡμέτερος κῶδιξ παρουσιάζεται ἐνίοτε πληρέστερος τῆς ἐκδόσεως τῆς Βόννης.

Ἰδοὺ δείγματά τινα χαρακτηριστικὰ σταχυολογημένα ἐκ τῶν πρώτων φύλλων τοῦ κώδικος καὶ κατ' ἐπιλογὴν ἐκ τῶν λοιπῶν.

Α' Διάφοροι γραφαί [1]:

τὸν τοιοῦτον 40,$_{16}$	*τὸν τοσοῦτον* G
ἄλλοι δὲ ἐλάσσονα 40,$_{18}$	*δὲ* om. G
εἶναι τὴν σελήνην 40,$_{19}$	*τὴν σελήνην εἶναι* G
τὸ βάθος ἀγνοοῦντες 40,$_{20}$	*ἀγνοοῦντες τὸ βάθος* G
καθεῖναι 40,$_{21}$ (*μεθεῖναι* cod P ἐν κριτ. ὑπομν.)	*καθεῖναι* G
ὁ δὲ τὰ θεῖα σοφὸς καὶ μέγας Βασίλειος 41,$_{5}$	*ὁ δὲ τὰ θεῖα εἰδὼς ὁ μέγας Βασίλειος* G
κατέπεμπε τὴν αὐγὴν 44,$_{16}$	*τὴν αὐγὴν κατέπεμπε* G
τὸ σῶμα τὸ τῆς σελήνης 41,$_{17}$	*τὸ σῶμα ταύτης* G
τούτων 41,$_{19}$	*τούτῳ* G (P)
χεομένων 42,$_{1}$	*ἀναχεομένων* G
τῇ γῇ πάσῃ 42,$_{2}$	*τὴν γῆν πάσῃ* G
τουτὶ φαινόμενον 42,$_{3}$	*τουτὶ τὸ φαινόμενον* G
μέγαν 42,$_{7}$	*μέγα* G
μέγα 42,$_{15}$	*μέγας* G
ἡμέτερα δὲ καὶ 42,$_{19}$	*δὲ* om. G
τῶν ἀνθρωπίνων 42,$_{20}$	*τῶν ἀν(θρώπ)ων (=ἄνων)* G
ἐπαγομένης 43,$_{4}$	*ἐπιγομένης* (sic) G
φθάνουσα 43,$_{5}$	*φθάνουσαν* G
καὶ τῆς ὑπὸ σελήνης 43,$_{7}$	*καὶ ὑπὸ σελήνην* G
ἔτι δὲ τὰ 43,$_{8}$	*ἔτι δὲ καὶ τὰ* G
τὰ κατὰ τὸν ἀέρα 43,$_{15}$	*τὰ* om. G
συνίστανται 43,$_{16}$	*συνίσταται* G
ἑπομένην 43,$_{20}$	*ἑπομένων* G
καὶ ὁ μέγας 44,$_{1}$	*καὶ* om. G
τοῦτο 44,$_{4}$	*καὶ τοῦτο* G
ἅτε τὰς 44,$_{22}$	*ἅτε δὴ τὰς* G
καθ' ἕκαστον διάμετρον 45,$_{13}$	*καθ' ἑκάστην διάμετρον* G
δύναται 45,$_{20}$ (*δύνανται* P)	*δύναται* G

[1] Οἱ ἀριθμοὶ ἀναφέρονται ὁ μὲν πρῶτος εἰς τὴν σελίδα ὁ δὲ δεύτερος εἰς τὸν στίχον τῆς ὑπὸ Im. Bekker ἐκδόσεως τῆς Χρονικῆς Βίβλου ἐν Βόννῃ.

ὡς ἄγονται $45,_{21}$ (*ἤγηνται*? Bekker)	*ὡς εἴρηται* G
ὅτι γὰρ φῶς $46,_{2}$	*ὁ γὰρ φῶς* G
τοῦ σώματος τοῦ σεληναίου $46,_{6}$	*τοῦ σεληναίου σώματος* G
περιγειοτέρου $46,_{6}$	*περιγεισειοτέρου* (sic) G
καλῶς οὖν ἔλεγε καὶ ὁ μ. $47,_{8}$	*καλῶς οὖν ὁ μ. ἔλεγε* G
ὅτι τρεπτὰ ταῦτα καὶ ἀλλοιωτὸν $47,_{18}$	*ὅτι τρεπτὰ πάντα καὶ ἀλλοιωτὰ* G
λόγου $47,_{21}$	*λόγους* G
καὶ ἡμέρας $47,_{23}$	*καὶ εἰς ἡμέρας* G
δι' αὐτῶν $48,_{2}$	*δι' αὐτῆς* G
τὸν ζωδιακὸν $48,_{4}$	*τὸ ζωδιακὸν* G
τῷ καρκίνῳ $48,_{5}$	*ἐν τῷ καρκίνῳ* G
τῷ ζυγῷ $48,_{5}$	*ἐν τῷ ζυγῷ* G
ἄλλο ἐστὶν $48,_{11}$	*ἄλλον ἐστὶν* G
τοῦ Θεοῦ σοφία κ. καὶ δ. $48,_{14}$	*τοῦ Θεοῦ κ. καὶ σοφία καὶ δ.* G
διὰ τῆς τῶν ὄντων αἰτίας $48,_{17}$	*διὰ τὴν τῶν ὄντων αἰτίαν* G
οὐ χειραγωγεῖν ἐθέλουσι καὶ ἑαυτοὺς $48,_{18}$	*χειραγαγεῖν* (sic) *ἑαυτοὺς οὐκ ἐθέλουσι* G
πῶς καὶ γὰρ εἰκὼν ἂν εἴη τῆς βασιλευούσης φύσεως, κατ' ἐκεῖνο τὸ μέρος ἀνισότητα φέρων πρὸς τὸ ἀρχέτυπον; $54,_{4\text{-}6}$	*πῶς καὶ γὰρ εἰκὼν ἀνισότητα φέρων πρὸς τὸ ἀρχέτυπον (ἂν εἴη... μέρος* om. G)

Β' Σχηματικῶς ἀποδοθεῖσαι δυσανάγνωστοι λέξεις ἐν τῷ προτύπῳ :

αἱ περὶ τοὺς εὐρίπους τε παλίρροιαι $43,_{18}$	*αἱ περὶ τοὺς εὐρίποις* (sic) *πάλιαγ́οιαι/* G
ἐπιπροσθοῦντος $46,_{7}$	*ἐπιπ ͤ λθούντος* (sic) G
αὐτῶν τοιῶνδε ἢ τοιῶνδε $47,_{23}$	*αὐτ ἐπὶῶνδε ἢ τοιώνδε* (sic) G
δι' αὐτῶν $48,_{7}$	*διᾶ τῶν* G
ἀνισότητα $54,_{5}$	*σότ ͭα/* in marg G

Γ' Παραλείψεις ἐν τῇ ἐκδόσει τῆς Βόννης :

καὶ νεῦον πρὸς ἥλιον ἐν τῷ τῆς συνόδου καιρῷ $44,_{19}$	*καὶ νεῦον πρὸς ἥλιον πλῆρες ὑπάρχει φωτός· ὑποτρέχουσα γὰρ ἡ σελήνη τὸν ἥλιον ἐν τῷ τῆς συνόδου καιρῷ* G
ἐν ταῖς συνοδοπανσελήνοις ἐξ ἀνάγκης $45,_{17}$	*ἐν ταῖς συνοδοπανσελήνοις ἐστὶν ὅτε* (sic) *παραμιγνύεσθαι λέγουσι καὶ οὕτω τὰς ἐκλείψεις τοῦ τε ἡλίου καὶ τῆς σελήνης ἐξ ἀνάγκης* G

Δ' Δήλωσις γραφῶν ἄλλων κωδίκων :

Ἐν τῷ κειμένῳ		Ἐν τῇ ᾤᾳ
φ. 52	*εὔδηλος*	*ἐν ἄλλοις ἄδηλος* [1]
φ. 58	*συνάπτεται*	*ἐν ἄλλοις ἐφάπτεται*
φ. 61	*δῆλον ὅτι*	*ἐν ἄλλοις ἐξ ἀνάγκης*
φ. 61v	*ταυτὸν*	*ἐν ἄλλοις ταυτὴν*
φ. 72v	*δεικνυούσης*	*ἐν ἄλλοις δεικνυσάσης*
φ. 75	*κατὰ τάξιν*	*ἐν ἄλλοις κατάλῖξιν* (ἴσως γρ. *κατὰ λέξιν*)
φ. 79	*ἀθάνατον*	*ἐν ἄλλοις ἀθάνατος*

ΑΘΑΝΑΣΙΟΣ Δ. ΚΟΜΙΝΗΣ

---

[1] Συχνὴ παλαιογραφικὴ σύγχυσις τοῦ *ευ* πρὸς τὸ *α*. Ἀναφέρομεν ἐνδεικτικῶς παραδείγματά τινα : *...τούτων γὰρ οἱ μὲν οὐδὲν τῶν παλαιῶν ἑλλήνων διαφέρουσιν, οὔτε κατὰ τὴν εὐσέβειαν* (γρ. *ἀσέβειαν*) *οὔτε κατὰ τὴν ἀσέλγειαν.* (Πρβλ. J. Hergenröther, Monumenta graeca ad Photium eiusque historiam pertinentia, Ratisbonae 1869, pp. 62 - 63. Πρβλ. καὶ C. Giannelli, ἐν Studi Bizantini e Neoellenici VII (1953), 105, n. 3). Τὴν γραφὴν *εὐκραὴς Ζέφυρος* παρ' Ὁμήρῳ, ἀντὶ *ἀκραὴς Ζέφυρος* (*πρβλ. ἀκραῆ Ζέφυρον, κελάδοντ' ἐπὶ οἴνοπα πόντον* β 421) γνωρίζουν οἱ Καλλικλῆς, Πρόδρομος καὶ Νικήτας Εὐγενειανός.

Πρβλ. α) Καλλικλῆς:

ποιητικὸς Ζέφυρος ἡμῖν ἐμπνέει,
Ὅμηρος ὃν προεῖπεν εὐκραῆ πάλαι·

(L. Sternbach, Nicolai Calliclis Carmina, Cracoviae 1903, σ. 34 [346], XXVIII, 77 - 78).

β) Πρόδρομος:

ὁ δ' εὐκραὴς Ζέφυρος ἀπέπνευσέ με

(E. Miller, Poésies inédites de Theod. Prodr., Annuaire de l'Assoc. pour l'encouragement des études grecques, XVII (1883), 56, στίχ. 9).

γ) Νικήτας Εὐγενειανός:

εἰ δὲ [εἴθε ἄλλως] Ζέφυρος νῦν γενοίμην, παρθένε,
σὺ δ' εὐκραὲς βλέπουσα προσπνέοντά με
τὰ στέρνα γυμνώσασα προσλάβοις ἔσω.

(Τῶν κατὰ Δροσίλλαν καὶ Χαρικλέα (Hercher) VIII, 107 - 109).

Διὰ τῆς γραφῆς ταύτης μάλιστα εὐοδοῦται καὶ τὸ νόημα τοῦ Ὁμηρικοῦ στίχου. Ὁ Θεσσαλονίκης Εὐστάθιος (Παρεκβολαὶ εἰς Ὅμηρον 1452, 50 - 51) ἔχει ὑπ' ὄψιν του ἀμφοτέρας τὰς γραφὰς καὶ πειρᾶται νὰ δώσῃ ἱκανοποιητικὴν ἑρμηνείαν. Πάντως τὸ πρᾶγμα χρῄζει ἰδιαιτέρας ἐρεύνης, διότι φαίνεται ὅτι ἐκτὸς τοῦ παλαιογραφικοῦ σφάλματος ὑπάρχει καὶ σημασιολογικὴ διαφορὰ μεταξὺ τῶν δύο λέξεων.

ΑΝΑΓΡΑΦΗ ΔΗΜΟΣΙΕΥΜΑΤΩΝ Β. Α. ΜΥΣΤΑΚΙΔΟΥ (1859-1933)

Μετὰ τὸν δημοσιευθέντα ὑπὸ τοῦ Κ. Δυοβουνιώτου περιγραφικὸν κατάλογον τῶν χειρογράφων κωδίκων τῆς βιβλιοθήκης τοῦ Β. Α. Μυστακίδου[1] καὶ κυρίως τῶν εἰς πεντακοσίους φακέλλους κατατεταγμένων καταλοίπων αὐτοῦ[2], κατέστη πλέον αἰσθητὴ ἡ ἔλλειψις μιᾶς συστηματικῆς ἀναγραφῆς τῶν δημοσιευμάτων τοῦ φιλοπόνου τούτου ἐρευνητοῦ καὶ συγγραφέως[3]. Ἡ κατωτέρω δημοσιευομένη Ἀναγραφὴ ἀποσκοπεῖ ἀκριβῶς εἰς τὴν θεραπείαν τῆς ἐλλείψεως ταύτης, συνάμα δὲ ἀποτελεῖ καὶ μικρὸν δεῖγμα τιμῆς πρὸς τὴν μνήμην τοῦ Β. Α. Μυστακίδου, ἑταίρου τῆς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν, εἰς τὴν ὁποίαν, ὡς γνωστόν, ἔχουν περιέλθει τὰ κατάλοιπα καὶ ἡ πλουσία βιβλιοθήκη του ἐκ δωρεᾶς τοῦ υἱοῦ του κ. Ἀθανασίου Μυστακίδου.

Ὅσον ἀφορᾷ εἰς τὴν πληρότητα τῆς παρούσης Ἀναγραφῆς, ἐπιτραπήτω μοι νὰ σημειώσω ὅτι παρὰ τὰς ἐρεύνας μου δὲν ἠδυνήθην νὰ εὕρω εἰς τὰς ἐν Ἀθήναις βιβλιοθήκας πάντας τοὺς τόμους τῶν ἐφημερίδων καὶ περιοδικῶν, τὰ ὁποῖα περιέχουν (ἢ ἐνόμιζον ὅτι ἦτο δυνατὸν νὰ περιέχουν) ἐργασίας τοῦ Μυστακίδου. Οὕτω δὲν ἠδυνήθην νὰ περιγράψω πλήρως καὶ ἐξ αὐτοψίας τὰ ὑπ' ἀριθ. 20, 40 (τὴν γ' ἔκδοσιν), 41, 68, 78 καὶ 121 δημοσιεύματα. Τριῶν ἄλλων (ἀριθ. 179, 180, 181) ἐγνώριζον μὲν τοὺς τίτλους, δὲν ἠδυνήθην ὅμως ἐν τέλει νὰ ἐξακριβώσω πότε καὶ ποῦ ταῦτα ἐδημοσιεύθησαν.

Εἴς τινας περιπτώσεις, ὅπου ὁ τίτλος δὲν δηλώνει σαφῶς τὸ περιεχόμενον τοῦ δημοσιεύματος, προσέθεσα ἐντὸς ἀγκυλῶν βραχείας ἐπεξηγηματικὰς σημειώσεις.

Σημειωτέον, τέλος, ὅτι δὲν ἔκρινα σκόπιμον νὰ περιλάβω εἰς τὴν

---

[1] Κ. Δυοβουνιώτου, Χειρόγραφα ἐν τῇ βιβλιοθήκῃ τοῦ Β. Μυστακίδου, «Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν» 14 (1938), σ. 415-431.

[2] Κ. Δυοβουνιώτου, Τὰ ἐν τῇ βιβλιοθήκῃ τοῦ Β. Μυστακίδου κατάλοιπα αὐτοῦ, Αὐτόθι 15 (1939), σ. 352-404 καὶ 16 (1940), σ. 160-210.

[3] Εὐχαριστῶ τὸν καθηγητὴν κ. Μ. Ι. Μανούσακαν, ὁ ὁποῖος μὲ παρεκίνησεν εἰς σύνταξιν τοῦ παρόντος καὶ μοὶ παρεχώρησεν ὅσα σχετικὰ δελτία κατεῖχεν. Ἐπίσης εὐχαριστῶ τὸν κ. Κώσταν Συμ. Παπαδόπουλον, παλαιὸν μαθητὴν τοῦ Μυστακίδου, καὶ τὸν κ. Ἰορδάνην Παμπούκην διὰ τὴν πρόθυμον συνεισφοράν των.

παροῦσαν Ἀναγραφὴν τὰς δημοσιογραφικὰς ἀνταποκρίσεις, τὰς ὁποίας ὁ Μυστακίδης ἔστελλε πρὸς τὰς ἐφημερίδας εἰς τὰς ὁποίας κατὰ καιροὺς συνειργάζετο[1].

1. Ἐκ Θρᾴκης [σχολεῖα ἐν Αἴνῳ· σιγίλλιον Γερασίμου, 1796] «Νεολόγος» [Κωνσταντινουπόλεως], ἀριθ. φύλλ. 3772 (16 Ὀκτ. 1881) [πρβλ. ἀριθ. 4].
2. Ἐκ Θρᾴκης [περὶ τῶν ἐν Αἴνῳ μονῶν Σκαλωτῆς καὶ Ἁγ. Ἀθανασίου· σιγίλλια Διονυσίου, 1678, Γρηγορίου, 1797, Γαβριήλ, 1706], Αὐτόθι, ἀριθ. φύλλ. 3934 (12 Μαΐου 1882).
3. Περὶ Κουρούτσεσμε ἱστορικαὶ σελίδες, ἤτοι περὶ ἐκκλησιῶν καὶ τῶν παρ' αὐταῖς ἀρχιερατικῶν ἐκλογῶν, πατριαρχείων, Μ. τοῦ Γένους Σχολῆς, αὐθεντικῶν οἴκων, κρηνῶν κλπ., «Ἐκκλησιαστικὴ Ἀλήθεια», περίοδος Β', 1 (1885), σ. 352-368, 397-417, 449-462, 508-514 καὶ αὐτοτελῶς: Ἐκ τοῦ πατριαρχικοῦ τυπογραφείου, Κωνσταντινούπολις 1885, σ. 66 [πρβλ. ἀριθ. 18].
4. Περὶ τῶν ἐν Αἴνῳ σχολείων, «Δελτίον Ἱστορικῆς καὶ Ἐθνολογικῆς Ἑταιρείας» 2 (1885), σ. 82-107 [πρβλ. ἀριθ. 1].
5. Αἴνου ἀνέκδοτον σιγίλλιον [Νεοφύτου, 1609], Αὐτόθι, σ. 622-625.
6. Θήρας νήσου σιγίλλιον ἀνέκδοτον [Καλλινίκου, 1805], Αὐτόθι, σ. 626-629.
7. Ἡ Αἶνος, «Ἑβδομὰς» 2 (1885), σ. 86-88.
8. Τὰ ἐν Ἀθήναις πρῶτα σχολεῖα. (Σχολεῖον Ντέκα. Σιγίλλιον αὐτοῦ.

---

[1] Περὶ τῆς δραστηριότητος τοῦ Β. Μυστακίδου ὡς δημοσιογράφου καὶ περὶ τοῦ βίου του γενικῶς βλ. Κ. Ἀμάντου, Λόγιοι Θρᾴκης, «Θρακικά», παράρτημα τοῦ τόμ. 3 (1931), σ. 183-184: Βασίλειος Μυστακίδης (ἐν τέλει τοῦ τόμου δημοσιεύεται καὶ φωτογραφία αὐτοῦ). Σοφοκλέους Ἀβρ. Χουδαβερδόγλου Θεοδότου τοῦ Τυανέως, Βασίλειος Ἀθ. Μυστακίδης, Ἄρχων Διδάσκαλος τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, Ἐθνικὸς Σύμβουλος, καθηγητὴς τῆς Πατριαρχικῆς Μεγάλης τοῦ Γένους Σχολῆς (1859-1933). Λόγος ἐκφωνηθεὶς κατὰ τὸ μνημόσυνον, τὸ τελεσθὲν ὑπὸ τῆς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν, ἐν Ἀθήναις τῇ 20ῇ Φεβρουαρίου 1938, Ἀθήνησι 1938, σ. 16 (ἐν ἀρχῇ φωτογραφία τοῦ Μυστακίδου). Ἐγκωμιαστικὸν ἄρθρον διὰ τὸ ἐπιστημονικὸν καὶ συγγραφικὸν ἔργον τοῦ Μυστακίδου ἐδημοσιεύθη εἰς τὸ περιοδικὸν «Νέος Ποιμὴν» 4 (1922), σ. 736-746. Βλ. ἐπίσης τὰ σχετικὰ ἄρθρα εἰς τὴν «Μεγάλην Ἑλληνικὴν Ἐγκυκλοπαιδείαν» 17, σ. 893 (ὑπὸ Ι. Φ. Δημαράτου) καὶ τὸ «Ἐγκυκλοπαιδικὸν Λεξικὸν Ἐλευθερουδάκη» καθὼς καὶ τὰς ἑξῆς ἐπὶ τῷ θανάτῳ του (17 Φεβρουαρίου 1933) δημοσιευθείσας νεκρολογίας: Θεσσαλονίκης Γενναδίου, Ἐπικήδειος εἰς Β. Μυστακίδην, «Γρηγόριος ὁ Παλαμᾶς» 17 (1933), σ. 56-57. † Β. Μυστακίδης, Αὐτόθι, σ. 77-78. Μ. Α. Σ[ταμούλη], Βασίλειος Μυστακίδης, «Θρακικὰ» 4 (1933), σ. 355-366. Β. Α. Μυστακίδης, «Ὀρθοδοξία» 8 (1933), σ. 36.

Διορθώσεις ἐπὶ τοῦ σιγιλλίου. Συμπληρώσεις εἰς τὴν ἱστορίαν τῶν τελευταίων μητροπολιτῶν Ἀθηνῶν), Αὐτόθι, σ. 530-531.

9. Δύο ἀνέκδοτα σιγιλλιώδη γράμματα δύο ἐν Ἄνδρῳ μονῶν, «Παρνασσὸς» 9 (1885), σ. 292-300.

10. Ἡ νῆσος Σίκινος καὶ ἀνέκδοτον Σιγίλλιον Μονῆς ἐν αὐτῇ, Αὐτόθι, σ. 401-413 καὶ αὐτοτελῶς: Περὶ νήσου Σικίνου ἀνέκδοτον σιγίλλιον μονῆς ἐν αὐτῇ, Ἀθήνησι 1886, σ. 13.

11. Ἀνέκδοτα. Α' Νεωτάτης ἐκκλησιαστικῆς ἱστορίας σελὶς [περὶ Μ. Ρεύματος], «Ἡμερολόγιον τῆς Ἀνατολῆς» τοῦ ἔτους 1886 [ἔκδ. Ἀθ. Παλαιολόγου] (ἔτος Ε', Κωνσταντινούπολις 1885), σ. 171-179.

12. Συμβολὴ εἰς τὴν ἱστορίαν τῶν ἐν Ἰωαννίνοις σχολείων. (Σχολὴ Γκιούμα-Ἀνέκδοτα ταύτης σιγίλλια), «Παρνασσὸς» 10 (1886), σ. 55-76, 132-140, 185-191.

13. Τὸ ζήτημα τοῦ θρήνου τῆς Κωνσταντινουπόλεως καὶ τίνες οἱ ἀξιοθρήνητοι, «Ἐφημερὶς» [Κορομηλᾶ] ἀριθ. φύλλ. 352 (18-12-1886), 356 (22-12-1886), 357 (23-12-1886), 358 (24-12-1886), 360 (26-12-1886), 361 (27-12-1886).

14. Οἱ σῳζόμενοι ἀγῶνες τῶν ἀρχαίων ἐν Θράκῃ, «Ἑβδομὰς» 3 (1886), σ. 184-187, 194-195.

15. Ὁ μητροπολίτης Χίου Πλάτων. (Σελὶς τῆς ἐθνικῆς καὶ ἐκκλησιαστικῆς ἡμῶν ἱστορίας), Αὐτόθι, σ. 220-222.

16. Ὁ μητροπολίτης Χίου Πλάτων. Τελευταῖοι Χίου μητροπολῖται, Αὐτόθι, σ. 462-464.

17. Ποικίλη διάλεξις [περὶ μητροπόλεως Ἀμασείας], «Νεολόγος», ἀριθ. φύλλ. 3490 (1 Ὀκτ. 1887).

18. Ἱστορικαὶ εἰδήσεις περὶ Κουρούτσεσμε, ἤτοι περὶ τῶν ἐκκλησιῶν, Πατριαρχείων, σχολείων, ἀρχιερατικῶν ἐκλογῶν, αὐθεντικῶν οἴκων, κρηνῶν, τάφων κλπ., «Παρνασσὸς» 11 (1887), σ. 93-106, 187-201, 295-315, 472-490, 514-550 καὶ αὐτοτελῶς: Ἐν Ἀθήναις 1888, σ. 112 [πρβλ. ἀριθ. 3].

19. Ἡ ἐν Λὸρχ μονή. Ἡ βασιλὶς Εἰρήνη. Γμούνδ, «Ἀττικὸν Ἡμερολόγιον» 1889, σ. 159-170.

20. [Ἔκδοσις σιγιλλίου ἀναφερομένου εἰς μητρόπολιν Δημητριάδος] «Ἡμερολόγιον τῆς Ἀνατολῆς» 1889.

21. Νεοελληνικὴ Γεωγραφικὴ Φιλολογία Ἀντ. Μηλιαράκη. Κρίσεις, Διορθώσεις, Προσθῆκαι, «Νεολόγος», ἀριθ. φύλλ. 6291 (5-7-1890), 6292 (6-7-1890), 6296 (11-7-1890), 6302 (18-7-1890), 6304 (20-7-1890), 6306 (23-7-1890), 6307 (24-7-1890), 6314 (2-8-1890), 6315 (3-8-1890) καὶ αὐτοτελῶς: Τύποις Νεολόγου, ἐν Κωνσταντινουπόλει 1890.

22. Βιβλιολογία [Ἰ. Σακκελίωνος, Μακαρίου Νικηφόρου τοῦ Θεοτόκη ποιήματα ἱερὰ ἀνέκδοτα], Αὐτόθι, ἀριθ. φύλλ. 6316 (4-8-1890).

23. Ὁ ἀνδριὰς τοῦ Ζάππα ἐν τῷ Ζαππείῳ, Αὐτόθι, ἀριθ. φύλλ. 6322 (13-8-1890).

24. Βιβλιολογία [Δ. Μισιδζῆ, Πνευματικὴ τροφὴ τῶν παίδων], Αὐτόθι, ἀριθ. φύλλ. 6327 (20-8-1890).

25. Γεωγραφικά. Γεωγραφικοὶ πίνακες ὑπὸ Μ. Χρυσοχόου. 1. Ἡ Θεσσαλονίκη μετὰ τῶν περιχώρων, Αὐτόθι, ἀριθ. φύλλ. 6343 (7-9-1890).

26. Γεωγραφικά. II. Γεωγραφικοὶ πίνακες ὑπὸ Κ. Ζαχαριάδου, Αὐτόθι, ἀριθ. φύλλ. 6357 (25-9-1890).

27. Γεωγραφικά. III. Γεωγραφικοὶ πίνακες ὑπὸ Ἰ. Νεράνδζη, Αὐτόθι, ἀριθ. φύλλ. 6365 (4-10-1890).

28. Βιβλιολογία. Νέα βιβλία [πέντε βιβλιοκριτικὰ σημειώματα], Αὐτόθι, ἀριθ. φύλλ. 6344 (8-9-1890).

29. Ψευδολογιῶν ἔλεγχος [ἐπιστολή], Αὐτόθι, ἀριθ. φύλλ. 6367 (6-10-1890).

30. Βιβλιοκρισία. Ἱστορικὰ [Ἀλκιβιάδου Ἰωαννίδου, Βίοι ἐπιφανῶν ἀνδρῶν], Αὐτόθι, ἀριθ. φύλλ. 6371 (11-10-1890).

31. Περὶ τῶν πατριαρχῶν Διονυσίου Β' καὶ Μητροφάνους Γ' καὶ τῆς καθαιρέσεως αὐτῶν, κατὰ νέα ἀνέκδοτα ἔγγραφα, «Ἐκκλησιαστικὴ Ἀλήθεια» 10 (1890), σ. 180-184, 187-191 καὶ αὐτοτελῶς: Σελὶς πατριαρχικῆς ἱστορίας ἐκ τῆς ΙϚ' ἑκατονταετηρίδος. (Διονύσιος Β', Μητροφάνης, Ἱερεμίας Β'), ἐν Κωνσταντινουπόλει 1890, σ. 38.

32. Byzantinisch-Deutsche Beziehungen zur Zeit der Ottonen, Stuttgart 1891, σ. ιη' + 100.

33. Διατριβαὶ [ἐπιστολὴ ἀπαντητικὴ εἰς ἐπίκρισιν], «Νεολόγος», ἀριθ. φύλλ. 6502 (22-3-1891).

34. Γεωγραφικά. Ὀλίγαι σκέψεις περὶ Γεωγραφίας. Εὔξεινος Πόντος, «Νεολόγου Ἑβδομαδιαία Ἐπιθεώρησις» 1 (1892), σ. 666-668, 681-683, 696-699, 714-715.

35. Πνευματικὴ κίνησις ἐν Καππαδοκίᾳ κατὰ τὸν ΙΗ' καὶ ΙΘ' αἰῶνα. Ἀνέκδοτον δίπλωμα διδασκαλικόν, Αὐτόθι, 2 (1893), σ. 85-87, 106-107.

36. Ἔλεγχος τῶν περὶ Κερασοῦντος ὑπὸ τοῦ κ. Παυλίδου εἰρημένων. (Κερασοῦς διπλῆ-Στράβωνος περιηγήσεις-Κερασοῦς ἐν Μοσσυνοίκοις-Κολχὶς -ίδος καὶ -ίδες -ίδων ἄλλο-Ὁ παρασάγγης παρὰ Ξενοφῶντι), Αὐτόθι, σ. 266-269.

37. Μία Κερασοῦς ἢ δύο; Καί: τούτων ἡ πρὸς Α. ἢ ἡ πρὸς Δ. ἡ ὑπὸ τοῦ Ξενοφῶντος μνημονευομένη; Αὐτόθι, σ. 290-292.

38. Τοπογραφικά. Τελευταία λέξις τῷ κ. Παυλίδι περὶ Κερασούντων, Αὐτόθι, σ. 466.

39. Καππαδοκία. Περιγραφή γεωγραφική, στατιστική, ἐμπορική, ἐκκλησιαστική τῆς μητροπόλεως Καισαρείας, «Παρνασσὸς» 15 (1893), σ. 368-379, 445-458, 600-615.
40. Γεωγραφικὸν ἐγχειρίδιον πρὸς χρῆσιν τῶν ἑλληνικῶν σχολείων καὶ παρθεναγωγείων, μετὰ σχημάτων καὶ εἰκόνων, κατὰ τὰ νεώτατα τῆς ἐπιστήμης πορίσματα, εἰς δύο τεύχη. Τεῦχος Α', περιλαμβάνον τὰς προκαταρκτικὰς γνώσεις ἐκ τῆς καθόλου Γεωγραφίας καὶ περιγραφὴν τῆς Ὀθωμανικῆς Αὐτοκρατορίας, σ. ις' + 230 + ς'. Τεῦχος Β', περιλαμβάνον τὴν Ἑλλάδα, τὴν Εὐρώπην καὶ πάσας τὰς ἠπείρους πλὴν τῶν ἐν αὐταῖς κτήσεων τῆς Ὀθωμανικῆς Αὐτοκρατορίας, σ. [β'] + 240, Κωνσταντινούπολις [1893]. [Τὸ 1894 ἐπανεξεδόθησαν ἀμφότερα τὰ τεύχη εἰς δευτέραν ἔκδοσιν βελτιωμένην (τεῦχ. Α', σ. κ' + 234, τεῦχ. Β', σ. 240) καὶ τὸ 1903 εἰς τρίτην ἔκδοσιν].
41. [Ἄρθρον περὶ Πόντου] «Σαββατιαία Ἐπιθεώρησις», 1893.
42. Ὁ ἱερὸς κλῆρος κατὰ τὸ ΙϚ' αἰῶνα. (Μάξιμος ὁ Μαργούνιος), «Εἰκοσιπενταετηρὶς καθηγεσίας Κ. Κόντου», Ἀθῆναι 1893, σ. 125-177 καὶ αὐτοτελῶς: Ἀθῆναι 1892, σ. 55.
43. Ὁ τάφος τοῦ Ἁγίου Θεοφάνους τῆς Συγριανῆς ἐν Σαμοθρᾴκῃ, «Ἐκκλησιαστικὴ Ἀλήθεια» 14 (1894) σ. 243-244.
44. Ὁ ἄγνωστος βίος τοῦ Ἰησοῦ Χριστοῦ, Αὐτόθι, σ. 251-252.
45. Ἡ Παλαιστίνη καὶ ἡ ἀξία τῆς ἐπὶ τόπου μελέτης τῆς Ἁγίας Γραφῆς, Αὐτόθι, σ. 254-256.
46. Ἐκδρομὴ εἰς Μασάδαν ἐπὶ τῆς Νεκρᾶς θαλάσσης, Αὐτόθι, σ. 261-263, 268-271.
47. Εἶναι ἔμφυτοι αἱ πρὸς κακουργίαν τάσεις; Αὐτόθι, σ. 277-278.
48. Ὁ πατριάρχης Ἱερεμίας Β' ὁ Τρανὸς καὶ προσωπογραφίαι αὐτοῦ, Αὐτόθι, 283-285.
49. Ἡ Ἱερουσαλὴμ καὶ αἱ χρονολογίαι τῶν ἁλώσεων αὐτῆς, Αὐτόθι, σ. 287-288, 294-296.
50. Ὁ πατριάρχης Ἱερεμίας Β' ὁ Τρανὸς καὶ αἱ πρὸς τοὺς διαμαρτυρομένους σχέσεις κατὰ τὸν ΙϚ' αἰῶνα, Αὐτόθι, σ. 300-301, 310-312, 317-320.
51. Ἀρχαιοτάτη ἐθνογραφία ἐν Παλαιστίνῃ καὶ Συρίᾳ. Ἰουδαῖοι καὶ Χετταῖοι, Αὐτόθι, σ. 302-303.
52. Ἐκκλησιαστικοὶ ἱστορικοὶ πίνακες [βιβλιοκρισία: F. X. Kraus, Synchronistische Tabellen zur Kirchengeschichte, Trier 1894], Αὐτόθι, σ. 333-335.
53. Βυζαντιακαὶ μελέται [παρουσίασις τοῦ τετάρτου τόμου τῆς Byzantinische Zeitschrift], Αὐτόθι, σ. 366.
54. Ἐθνικὸν Πανεπιστήμιον, Αὐτόθι, σ. 367.

18-7-1964



ΒΑΣΙΛΕΙΟΣ Α. ΜΥΣΤΑΚΙΔΗΣ

1859-1933

55. Ἄνθιμοι πατριάρχαι Κωνσταντινουπόλεως, Αὐτόθι, σ. 374 - 375.
56. Ἐγκυκλοπαιδεία καὶ μεθοδολογία τῆς θεολογίας, Αὐτόθι, σ. 375 - 376.
57. Ἐκλογὴ καὶ πρόβλησις οἰκουμενικοῦ πατριάρχου, Αὐτόθι, σ. 379 - 380, 395 - 398, 403 - 404.
58. Ἑορτὴ τῆς Ὀρθοδοξίας. 19 Φεβρουαρίου 842 - 19 Φεβρουαρίου 1895, Αὐτόθι, σ. 398 - 400.
59. Τὰ Χριστούγεννα, ἡ πρώτη τοῦ ἔτους καὶ τὰ Θεοφάνεια, Αὐτόθι, σ. 340 - 343, 350 - 351, 357 - 359, 364 - 366, 404 - 405 καὶ τόμ. 15 (1895) σ. 7 - 8.
60. Κυριακὴ τῆς Σταυροπροσκυνήσεως, Αὐτόθι, 15 (1895) σ. 5.
61. Ἡ λέξις ἐπιούσιος ἐν τῇ Κυριακῇ προσευχῇ, Αὐτόθι, σ. 11 - 13.
62. Φυσικαὶ ἀρεταί, προσόντα καὶ σπουδαὶ ἐν τῷ κηρύγματι τοῦ θείου λόγου, Αὐτόθι, σ. 22 - 23, 27 - 29.
63. Ἡ ἑβδομὰς τῶν ἁγίων Παθῶν, Αὐτόθι, σ. 36 - 38.
64. Ὁ πατριάρχης καὶ ὁ αὐτοκράτωρ τοῦ Βυζαντίου κατὰ τὴν Πέμπτην τῆς Διακαινησίμου, Αὐτόθι, σ. 51.
65. Ἐκκλησιαστικῆς φιλολογίας λέξεις [δεσπότης, ἐκκλησία, ἐπικήδειον, ἐπιτίμιον κλπ.], Αὐτόθι, σ. 59 - 60.
66. Πάπαι ἐξ Ἀνατολῆς κατὰ τὸν Ζ′ καὶ Η′ αἰῶνα, Αὐτόθι, σ. 87, 96, 102 - 103.
67. Ἐκκλησιαστικὴ κεντητική, Αὐτόθι, σ. 94 95.
68. [Λόγος τοῦ Μυστακίδου ἐπὶ τῇ ἀναλήψει τῶν καθηκόντων του ὡς γυμνασιάρχου τοῦ Γυμνασίου Θεσσαλονίκης], «Φάρος τῆς Μακεδονίας», 30 - 9 - 1895.
69. Ἐγχειρίδιον Ρωμαϊκῆς Ἱστορίας (753 π.Χ. - 476 μ.Χ.) μετὰ πρωτοτύπων εἰκόνων, πρὸς χρῆσιν τῶν Ἑλληνικῶν σχολείων ἀρρένων τε καὶ θηλέων, Ἐν Κωνσταντινουπόλει 1895, σ. ι′+164.
70. Ἀριστοτελικὰ χειρόγραφα [βιβλιοθήκης πανεπιστημίου Τυβίγγης], «Ὁ ἐν Κωνσταντινουπόλει Ἑλλην. Φιλολογικὸς Σύλλογος», Ἀρχαιολογικὸν Παράρτημα τ. 24 - 26 (1896), σ. 130.
71. Γράμμα δωρεᾶς μονῶν καὶ χωρίων [μητροπολίτου Κρήτης Νεοφύτου, 1654], Αὐτόθι, σ. 131 - 132.
72. Σημείωσις ἐκ Σαμοθρᾴκης, Αὐτόθι, σ. 172.
73. Βραχεῖα σημείωσις περὶ τοῦ μοναστηρίου Βέλιανη. Αὐτόθι, σ. 173.
74. Λειτουργικά. «Εἰ χρεία τοῦ ζέοντος καὶ ἐν τῇ προηγιασμένῃ λειτουργίᾳ», «Ἐκκλησιαστικὴ Ἀλήθεια», 17 (1897), σ. 78 - 80, 85 - 87.
75. Αἱ ἑτερόδοξοι κοινότητες ἐν Συρίᾳ καὶ τὰ ἐν αὐταῖς σχολεῖα, Αὐτόθι, σ. 119 - 120, 125 - 127, 133 - 134, 140 - 142, 164 - 166, 172 - 173, 212 - 214, 220 - 221, 227 - 229.
76. Νικηφόρος Βλεμμύδης. Βιογραφία, Αὐτόθι, σ. 149.

77. Νέαι ἐκδόσεις βυζαντινῶν συγγραφέων, Αὐτόθι, σ. 294.
78. Αἱ θρηνῳδοί, ἤτοι ἡ σαρκοφάγος τῶν θρηνῳδῶν ἐν τῷ αὐτοκρατορικῷ μουσείῳ, Κωνσταντινούπολις 1898.
79. Ποικίλη ἱστορία. Δεῖπνον. menu = γραμματείδιον, « Ταχυδρόμος » [Κωνσταντινουπόλεως] 17 - 10 - 1898.
80. Φιλολογικὰ πάρεργα. Γραμματείδιον = menu [ἀπαντητικὴ εἰς ἐπικρίσεις ἐπιστολή], Αὐτόθι, 27 - 10 - 1898.
81. Notes sur Martin Crusius, ses livres, ses ouvrages et ses manuscrits, « Revue des Études Grecques » 11 (1898), σ. 279 - 306 καὶ αὐτοτελῶς, σ. 28.
82. Διάφορα περὶ Θεσσαλονίκης σημειώματα. Ἡ μονὴ τῶν Βλαταίων καὶ τὰ ἐν αὐτῇ ἔγγραφα. Μητροπολῖται Θεσσαλονίκης, ἐπισκοπαὶ κλπ., « Ὁ ἐν Κωνσταντινουπόλει Ἑλληνικὸς Φιλολογικὸς Σύλλογος » τόμ. 27 (1895 - 1899) Κωνσταντινούπολις 1900, σ. 369 - 388.
